5 *ἀπηνὲς ἄχρι Εὐξείνου καὶ χειμῶνες ἀήθεις ἐπισχεθήσονται, καὶ πολέμιοι καταδραμοῦνται τὴν χώραν. καὶ* B *τὴν μὲν ἀρχὴν ἐλαττωθήσονται οἱ ἐγχώριοι, δυνάμεως δ' ὕστερον συντρεχούσης οὐ μόνον ἡττηθήσονται οἱ πολέμιοι, ἀλλὰ καὶ αἰχμάλωτοι οἱ ἡγεμόνες αὐτῶν ἐν*
10 *δεσμοῖς ἔσονται. εἶτα ἐκεῖθεν ἐπὶ μεσημβρίαν μετελεύσεται ὁ νικήσας στρατός, καὶ τῶν ἐ[κεῖ ἀνθέξεται πό]λεων, καὶ ἐν ἐπαίνοις ἔσται· καὶ αὐτὰ δὲ τὰ θεῖα* 48A *καταλείψουσι τοὺς πολεμίους, ὥστε ἐκ περιστάσεως προστεθῆναι τοῖς νικηταῖς. Τοσαῦτα τὰ σημαινόμενα,*
15 *ὅταν ὠχρὸς φαίνηται ὁ ἱππεὺς μετρίως· ὅταν δὲ καθ' ὁμαλοῦ ὠχρότα[τος], ἐξωτικὸν μὲν οὐκ ἀπειλεῖ, ἐμφυλίους δὲ φράζει πολέμους, οὐκ ἐλάττους τῶν πρὸς τοὺς ἔξωθεν ἀπειλῶν τὰς συμφοράς, καὶ οὐ τοῦτο μόνον ἀλλὰ καὶ ἐλάττωσιν. ἐ[κείνῳ] δὲ μάλιστα προσ-*
20 *εκτέον, ὡς ἐπὶ χρόνον φαινόμενος, ὡς εἴρηται* (p. 32, 13), B

1 *ἀφίδοι MN* | post *ἀπίδοι* add. *ὁ τοιοῦτος D*, *ὁ τοιοῦτος κομήτης MN* ‖ **3** post *ἔσται* addidi *τῶν* ex *DN* | *πτώσις DM* ‖ **4** *οἰκημάτων MN* | *βοώτην*] *βορᾶν M* (rubre) | *νεύοι*] sic *DLN*, *νέοι C* ‖ **5** *ἄχρις D* | *ἐπισχεθήσονται* scripsi: *ἐπιχεθήσονται CD*, *ἐπειχθήσονται MN* ‖ **7** *μὲν* om. *MN* | *οἱ ἐγχώριοι—ἔσονται* (10)] om. *MN* | *οἱ ἐγ* ultima in *D* fol. 21ᵛ, fol. 22 deest, pergit fol. 23 inde a p. 40, 4 ‖ **10** *μετελεύσεται MN*, *μετελεύσονται C* ‖ **11. 12** *ἐκεῖ ἀνθέξεται πόλεων*] ε spat. 12 litt. *λεων C*, *ἐκεῖ ἀνθέξεται MN* ‖ **13** *περιστάσεως MN*, *περι.... C* ‖ **14** *τοσαῦτα τὰ*] *τὰ τοιαῦτα N* ‖ **16** *καθόλου ὠχρότητα MN* | *ἐξωτικοὺς MN* ‖ **17** *τῶν* om. *MN* ‖ **18** *ἀπειλῶν τὰς* scripsi: *ἐναπειλοῦν τὰς N*, *ἀπειλοῦντας M*; *ἀπειλοῦν[τας τὰς]* H. ‖ **19** *ἐλάττωσιν*] *ἕτερα πλείονα M* | post *ἐλάττωσιν* Hasio videtur vox praetermissa esse a librario codicis *C* | *ἐκεῖνο MN* ‖ **20** ante *ἐπὶ* add. *ὁ M* | *χρόνου M*

ἐπὶ τὸν γαλαξίαν (οὐδὲ γὰρ πρὸς ἀνατολὰς ὑπὲρ τὰς ἑπτὰ φανήσεται ἡμέ[ρας ὁ τοιοῦ]τος ἀστήρ), χρόνια τὰ κακά, πρὸς βραχὺν δὲ καιρόν, ἐπίκαιρ[α] σημαίνει.

50 A

ΚΟΜΗΤΗΣ ΞΙΦΙΑΣ

13. Οὗτος ὁ ἀστὴρ ἀναφέρεται μὲν Ἑρμῇ, οὐχ ἥττονας δὲ τοῦ προτέρου, δολιωτέρας μέντοι τὰς ἐνεργείας ποιεῖ. ὅταν μὲν γὰρ ἐπὶ τὴν ἀνατολὴν βλέπῃ, οἱ δυνατοὶ Περσῶν καὶ Αἰθιόπων τοὺς ἑαυτῶν βασιλεῖς φαρμάκῳ διαφθεροῦσι· τὸ αὐτὸ δὲ καὶ ἐπὶ Φοινίκης πρός τινων τοῦ πλήθους κατὰ τῶν ἐν τέλει ἁμαρτηθήσεται. φῆμαι δὲ ἔσονται οὐκ ἀληθεῖς, ἐκ- B δειματοῦσαι τοὺς ἁπανταχοῦ. εἰ δὲ ἐπὶ μεσημβρίας ἀνίσχοι, Αἰγυπτίοις καὶ τοῖς ἄλλοις Λιβυκοῖς ἔθνεσι δόλους ὡσαύτως θανατηφόρους ἐπιφέρει, καὶ Αἰγύπτιοι μὲν ἕξουσι μεταβολὴν τῶν κακῶν, Λίβυες δὲ ἐμφυλίοις 52 A πολέμοις δαπανηθήσονται. ὅτε δὲ ἐπὶ τὴν δύσιν ὁρᾷ, τοῖς ἐκεῖσε δυνατοῖς τὰ ὅμοια ἀπειλεῖ, ὡς ἐξ ὑπονοίας κατ' ἀλλήλων ἐξενεχθῆναι εἰς φανερὸν πόλεμον. ὅτε δὲ ἐπὶ τὴν ἄρκτον ὁρᾷ, ἐπιμιξίαν δηλοῖ τῶν ἀρκτῴων καὶ Λιβυκῶν ἐθνῶν, ὥστε θυγατέρα Λίβυος δυνάστου

1 οὐδὲ usque ad ἀστήρ (2) tamquam interpretamentum exclusit Riessius l. s.; rectius ad ipsius Lydi explicationem rettuleris | οὐδὲ] ἐστὶν· εἰ (εἰ rubr.) *M*, εἰ *N* ‖ 2 ἡμέρας ὁ τοιοῦτος ἀστήρ] ἐπιπλέον οὖν ὢν *M*, τοιοῦτος γὰρ ἡμέρας *N* ‖ 3 βραχὺ *MN* | καιρὸν — σημαίνει] ἐπ' ἔλαττον *M* | ἐπίκαιρα om. *N* ‖ 4 hinc iterum inc. *D* (vide p. 39, 7) | κομήτης ξιφίας] περὶ ξιφίου *M* ‖ 5 οὗτος ὁ ἀστὴρ] ὁ δέ γε ξιφίας *M* | ἑρμοῦ *MN* | ἥττονας coni. Hercher pro ἧττον ‖ 6 μέντοι *CD*, om. *MN* | τὰς om. *C* ‖ 7 ποιεῖ. ὅταν scripsi pro ποιεῖται. ἂν (ποιεῖ. ἂν coni. Hercher) ‖ 9 διαφθεροῦσι *D*, διαφθειρουσι *C*, διαφεροῦσι *M*, διαφθειροῦσιν *N* ‖ 10 πρός τινων] προστείνων *M* | τοῦ πλήθους *D*, ... ους *C*, τὸ πάθος *MN* ‖ 12 μεσημβρίαν *DMN* ‖ 16 ὅταν *D* ‖ 19 ἀρκτόων *D*

δοθῆναι πρὸς γάμον ἀρκτῴῳ τυράννῳ, καὶ ἐπιβουλεῦσαι τῷ πατρὶ τὴν παῖδα καὶ προδοῦναι αὐτόν, ἔρωτι ἀσεβεῖ περὶ τὸν ἄνδρα κρατουμένην.

ΚΟΜΗΤΗΣ ΛΑΜΠΑΔΙΑΣ

5 14. *Λαμπαδίας* κομήτης, οὕτω προσαγορευόμενος B ἐκ τοῦ σχήματος, ἔστι μὲν Ἑρμοῦ καὶ αὐτός· ὅταν δὲ ἐπὶ ἀνατολὰς ἴδῃ, ἀχλυώδη τὸν ἀέρα καὶ ἐξ αὐτοῦ βλάβην τῇ ἀμπέλῳ μαντεύεται· ἐκ γὰρ τῆς ἀχλύος τίκτονται σκώληκες, οἱ λεγόμενοι ἶπες. καὶ ἡ βλάβη 54 A
10 μὲν καθολική, μάλιστα δὲ τοῖς περὶ τὴν ἄνω Ἀρμενίαν, Εὐφρατησίαν τε καὶ Φοινίκην καὶ Ταυροκιλικίαν γενήσεται. καὶ οὐ μόνον ἐν ἡμέρᾳ, ἀλλὰ καὶ ἐν νυκτὶ οὕτως ἡ ἀχλὺς πυκνωθήσεται ὡς καὶ λαμπάδας ἀνημμένας ἀποσβέννυσθαι. τοῖς δὲ καρποῖς ἐμφυήσεται ἡ
290 λεγομένη αἶρα καὶ ὑγρασία τις σηπτικὴ καὶ βλαπτικὴ
16 τοῖς ἀμητοῖς· ἐκροπαί τε ποταμῶν καὶ ὄμβρων ῥήξεις B βιαιοτέρων καὶ κεραυνῶν βολαὶ ἔσονται, καὶ οὐδὲν ἧττον ὁ αὐχμὸς ἐπιτελεῖ, ὡς καὶ τοὺς ἀεννάους τῶν ποταμῶν ἀναφρυγῆναι. εἰ δὲ ἐπὶ νότον, ἔτι μᾶλλον
20 ξηρότερον ἔσται καὶ λοιμωδέστερον τὸ τοῦ ἀέρος κα-

4 κομήτης λαμπαδίας] περὶ λαμπαδίου (rubr.) *M* ‖ 5 ante λαμπαδίας add. ὁ δὲ *M* | κομήτης—προσαγορευόμενος] om. *M*, κομήτης, καὶ οὕτω προσαγορευόμενος *N* ‖ 6 post σχήματος add. *M* οὕτω προσηγορεύθη | μὲν] δὲ *MN* ‖ 8 ταῖς ἀμπέλοις *M* ‖ 9 τίκτοντες *N* ‖ 10 μὲν habet solus *D* | δὲ τοῖς] sic *MN*, μέντοι *C* ‖ 11 τε—γενήσεται] om. *MN* ‖ 13 ἡ ἀχλὺς om. *D* | ἡμμένας *M*, συνημμένας *N* ‖ 14 ἐναποσβέννυσθαι *C* ‖ 15 ἠέρα *M*, ἡ ἔρα *N* | τις—βλαπτικὴ] σηπτικὴ *MN* ‖ 16 τε] τῶν *MN* | καὶ ὄμβρων—τῶν ποταμῶν (19)] om. *MN* ‖ 18 ἐπιτελεῖ *D*, ἐπιτείνῃ *C* | ἀεννάους *D*, ἀενάους cet. ‖ 19 ante ἀναφρυγῆναι add. ὥστε *MN* | εἰ—ἔτι] ἐπὶ δὲ (ἐπὶ δὲ rubr.) τῶν *M* | νότον] τὸν *N* ‖ 20 ξηρότερων *N*, ξηροτέρων *M* | ἔσται om. *C*

τάστημα, τοῦ Νείλου ὑποξηρανθέντος, ὥστε ἑρπετῶν πάντα πληρωθῆναι. εἰ δὲ ἐπὶ τὴν ἄρκτον, ὁ μὲν αὐχμὸς τῷ ψυχρῷ τοῦ κέντρου ἡττηθήσεται, πῦρ δὲ ταῖς ὕλαις ἀδοκήτως καὶ τοῖς ὄρεσιν ἐμπεσεῖται, ὡς μηδὲ τοὺς ἐν τοῖς ἄκροις ἢ φρουρίοις διατρίβοντας 5
C ἔξω τῆς βλάβης γενέσθαι· θάνατός τε πολὺς ἔσται,
56A καὶ μάλιστα ἐπὶ τῆς Αἰγύπτου. ὅταν δὲ ἀνίσχων πρὸς δυσμὰς ὁρᾷ, κεραυνοὺς μὲν τῇ χώρᾳ, πτῶσιν δὲ τοῖς βοσκήμασι μαντεύεται, ἐμπρησμοί τε ἔσονται βαρεῖς.

ΚΟΜΗΤΗΣ 10

15. Οὗτος ὁ ἀστὴρ Διὸς μέν ἐστιν, οὕτω δέ ἐστιν ἐπίσημος, ὡς ἐξ αὐτοῦ πάντας τοὺς ἄλλους διοσημειακοὺς ἀστέρας κομήτας προσαγορεύεσθαι. οὗτος δὲ ἡνίκα λαμπροὺς καὶ ἀργυροειδεῖς τοὺς πλοκάμους ἐπὶ τὴν ἀνατολὴν ἀκοντίσῃ, Διὸς ⟨ἐν⟩ καρκίνῳ ἢ σκορπίῳ 15
B ἢ ἰχθύσιν ὄντος, Πέρσαις ἀγαθὰ μεγάλα μαντεύεται. ἀναστήσονται γὰρ καὶ ἐπὶ τὰ Ῥωμαίων ἐκχυθέντες πόλεις τε καὶ φρούρια καθέξουσιν, αἰχμαλώτων τε ἄπειρον πλῆθος καὶ πλοῦτον πολὺν λαβόντες νικηταὶ εἰς τὴν ἑαυτῶν χώραν ἀναζεύξουσι, μηδὲ συμβαλεῖν ὅλως τινὸς 20
θαρροῦντος αὐτοῖς. ὅταν δὲ ἀποστρόφως ἀνίσχῃ ὁ

1 ὁ (rubr.) δὲ Νεῖλος ξηρανθῇ *M* | ὑποξηραίνοντος libri: corr. Hercher || 3 τοῦ κέντρου] om. *M* || 5 τοὺς] τοῖς *N* | ἄκροις corr. Riess. p. 345 pro ἀγροῖς | διατριβόντων *N* || 7 τὴν *M*, τοῖς *N* | Αἴγυπτον *M* | ὅταν δὲ ἀνίσχων] εἰ δὲ (rubr.) *M* || 8 μὲν om. *MN* || 10 κομήτης] Διὸς κομήτης *N*, περὶ κομήτου τοῦ Διὸς *M* || 11 μὲν—ἐπίσημος (12)] κομήτης ἐστίν. ἔστι δὲ ἐπίσημος· ἐπίσημος δὲ ἐστιν *M* | οὕτω] αὐτὸς *N* | δὲ om. *D* || 12 ante ὡς add. ἐπίσημος δέ ἐστιν *N* || 14 ante ἡνίκα om. δὲ *C* || 15 Διὶ *M* | ἐν add. Usener ap. Riess. || 17. 18 φρούριά τε καὶ πόλεις *M* || 18 τε] δὲ *N* | ἀπείρων *C* || 20 ἀναζεύξωσιν *N* | μήτε *C* || 21 ἀνάσχοι *LMN*

1 κομήτης οὗτος, τοῖς καθ' ὧν ἀποστρέφεται, τὰς ἀστοχίας ἐπιφέρει. εἰ δὲ ἐπὶ τὸν νότον ἴδοι, ἐπιδώσει ὁ 58 A Νεῖλος ἀφθονώτερον, εἰρήνη τε καὶ εὐετηρία ἔσται ἐπὶ τῆς Αἰγύπτου, ὁμόνοιά τε καὶ εἰλικρινὴς τοῖς 5 πᾶσιν ἡσυχία. εἰ δὲ ἀποστρεφόμενος καὶ κατὰ νῶτα ἔχων τὴν ἀνατολὴν ἐπὶ τὴν δύσιν ὁρᾷ, ἄπειρος ἔσται τοῖς Ῥωμαίοις εὐδαιμονία· Πέρσας τε γὰρ καταπολεμήσουσι καὶ αὐτοῦ ἀναιρουμένου τοῦ Περσῶν βασιλέως· πάντων τε ὁμοῦ τῶν ἀγαθῶν ἀφθονία τῇ Ῥω-10 μαίων πολιτείᾳ ἔσται· θέαι τε ἄφθονοι καὶ δωρεαὶ φιλότιμοι καὶ ἱππικοὶ ἀγῶνες σπουδαιότεροι μετὰ ψυχαγωγίας τοῦ πλήθους ἐπιτελεσθήσονται καὶ ἁπλῶς εἰπεῖν τοῖς πράγμασι καθολικὴ ἔσται ἱλαρία. εἰ δὲ ἐπὶ τὴν ἄρκτον ἴδοι κατὰ νῶτα τὸν νότον ἀφείς, καταδρα-15 μοῦνται Λιβύην οἱ ἀπὸ τῆς Εὐρώπης νόμῳ πολέμου καὶ οὐχ ἥκιστα οἱ ἀπὸ τοῦ ἀνατολικοῦ βορείου κατὰ τῶν δυτικῶν νοτίων. τοῖς δὲ ἐπὶ τὴν ἀνατολὴν καὶ Αἴγυπτον νοτίοις οἱ πρὸς βοήθειαν καὶ φυλακὴν τῶν ὅρων ἐνιδρύμενοι στρατιῶται τὰ χείριστα ἐπάξουσιν.

1 οὗτος om. *M*, οὕτως *N* | τοῖς καθ' ὧν *D* (ut suppl. H.), τοῖς ἀφ' ὧν *L*, τοι . . . . . ν *C*, τοῖς καρποῖς *M*, το καρποῖς *N* | ante τὰς add. καὶ *MN* ‖ 2 ἐπιφέρειν *N* | τὸν om. *D* | ἴδοι *D*, ι . . *C*, ἀπίδοι *MN* ‖ 3 ἀφθονώτερον] εὐτονώτερον *M* ‖ 4 τὴν Αἴγυπτον *MN* ‖ 5 νῶτα *M*, . οτο . *C*, i. e. νότον et sic *DN* ‖ 7 inde a τε incipit lacuna in cod. *C*, in quo explicit fol. 6 vers. et desideratur unum certe folium ‖ 8 ἀναιρουμένου *DN*, ἀναιρεθέντος *M* ‖ 10 ἔσται πολιτείᾳ *D* ‖ 13 τοῖς πράγμασι post ἔσται transp. *D* | ἱλαρία *DN*, ἱλαρότης *M* | τὴν] τὸν *D* ‖ 14 νῶτα *M*, νώτου *D*, νότου *N* ‖ 17 δυτικῶν νοτίων *DN*, νοτίων δυτικῶν *M* ‖ 18 νοτίοις om. *D*

ΚΟΜΗΤΗΣ ΔΙΣΚΕΥΣ

15ᵃ. ὁ λεγόμενος δισκεὺς, ὡς εἴρηται (p. 31, 11), ἀπὸ τοῦ σχήματος οὕτω προσηγορεύθη, ὥστε κυκλοτερὴς ὢν οὐκ ἔστι δῆλος ἐπὶ ποῖον μέρος τοῦ κόσμου δοκεῖ ἀφορᾶν. ἀνίσχων δὲ κοινὰ πᾶσι μαντεύεται κακά· καὶ οὐδενὶ τῶν πλανητῶν ἀνάκειται, ἀλλ' ἐξ ἀνταυγείας τοῦ ἡλίου γίνεται. ἀπειλεῖ τοίνυν θορύβους καθολικοὺς καὶ πολέμους ἀπὸ τῆς ἄρκτου καὶ μεγάλων προσώπων ἀπώλειαν καὶ εὐτελῶν καὶ ἀγενῶν εὐπραγίαν, κίνδυνον δὲ καὶ αὐταῖς ταῖς πρώταις τύχαις ἐπάγει. ἐλαττωθήσεται δὲ πανταχοῦ τὰ Ῥωμαίων στρατεύματα, ὡς ἐγγὺς παντελοῦς ἀπωλείας ἐλθεῖν.

ΚΟΜΗΤΗΣ ΤΥΦΩΝ

15ᵇ. οὗτος γίνεται μὲν ἐξ ἀντανακλάσεως τοῦ ἀέρος· ἔστι δὲ δρεπανοειδής, ἀργός, καπνώδης, στυγνός. ὅπου δ' ἂν βλέπῃ, καθολικὰ ἔσται κακὰ, πόλεμοί τε ἐξωτικοὶ καὶ ἐμφύλιοι βαρεῖς καὶ στάσεις δημοτικαὶ καὶ ἔνδεια τῶν ἀναγκαίων. ἀναιρεθήσονται δὲ καὶ ἡγεμόνες ἔνδοξοι ἐν πολέμοις καὶ μάλιστα εἰ ἐπὶ τρεῖς

1 *περὶ δισκέως M* ‖ **2** post *ὁ* add. *δὲ M* | *δοκεὺς N* ‖ **4** *μέρος τοῦ κόσμου δοκεῖ ἀφορᾶν DL*, *μέρος ἀφορᾷ M*, *ἰὼν δὲ ἀφορᾷ ἀνίσχων N* ‖ **5** *ἀνίσχων δὲ κοινὰ*] sic *DL*, *κοινὰ δὲ MN* ‖ **6** *καὶ οὐδενί*] *ἀλλ' οὐδέ τινι L*, *οὐδέ τινι D* | *πλανητῶν*] sic *DL*, *πλαγίων MN* | *ἀλλ'*] *γίγνεται δὲ M*, qui om. *γίγνεται* post *ἡλίου* ‖ **11** *ἐπάγει τύχας D* | *ἐλαττωθήσεται δὲ*] *ὡς ἐλαττωθῆναι L* | *πανταχοῦ* om. *D* | ante *Ῥωμαίων* add. *τῶν L* ‖ **12** *ὡς*] *καὶ L* ‖ **13** *κομήτης τυφών*] om. *L*, *περὶ τυφῶνος M* ‖ **14** *οὗτος D*, *οὕτως N*, *ὁ τυφὼν δὲ L*, *ὁ δὲ τυφὼν M* | *μὲν* hab. solus *D* | *ἀνακλάσεως L* ‖ **15** *ἔστι δὲ*] sic *DL*, om. *MN* | *ἀραιὸς* coni. Hercher ‖ **16** *δ' ἂν*] sic *L*, *γὰρ MN* | *βλέπῃ* corr. Hercher pro *βλέπει* ‖ **17** *ἐμφύλιοι βαρεῖς L*, *βαρεῖς ἐμφύλιοι DMN* | *καὶ* ante *στάσεις* om. *MN* | *καὶ* post *δημοτικαὶ* om. *M* ‖ **18** *ἀναιρεθήσονται* usque ad *πολέμοις* (19) om. *D*

ἢ τέσσαρας ἡμέρας φαίνοιτο. Εἰ δὲ πλέον φανῇ, τοῦ παντὸς ἀπώλειαν καὶ ἀνατροπὴν ἀπειλεῖ καὶ πέρας τῶν κακῶν οὐδαμοῦ. ἀπολοῦνται δὲ πλεῖστοι ἐκ τοῦ Ῥωμαϊκοῦ στρατεύματος ἐν πολέμῳ, ληφθήσονται δὲ
5 καὶ παρεμβολαὶ καὶ φρούρια Ῥωμαίοις προσήκοντα· καὶ αὐτοῖς δὲ τοῖς ἄρχουσι στασιάζων ὁ δῆμος ἐπελεύσεται. καὶ λοιμὸς ἔσται καὶ οὐδεὶς εὐχόμενος ἀκουσθήσεται· καὶ διαδοχαὶ κατάλληλοι τῶν ἀρχόντων ἐξ ἀβελτηρίας τῶν κρατούντων ἔσονται. ἔμπρησμοι δὲ
10 διαφερόντως κάρτα βίαιοι καὶ φονικοὶ ὅλας πόλεις ἀποτεφροῦντες συμβήσονται. καὶ καθολικὰ μὲν ἔσται καὶ ἀνυπόστατα πανταχοῦ τὰ δεινά, τοῖς δὲ δυτικοῖς χείρονα. πόλεμος γὰρ αὐτοῖς ἐκ τῆς ἀνατολῆς δυνατὸς ἐπιπεσεῖται, διχονοούντων δὲ τῶν κινουμένων ἐκ τῆς
15 ἀνατολῆς τὸ πλεῖστον τῆς στρατιᾶς ἀποφθαρήσεται· καὶ στάσεις ἐγερθήσονται τοῖς στρατεύμασι καὶ ἀλλήλοις τὰς ποινὰς ἐπικλώσουσιν αἱ στρατεῖαι. μετ' οὐ πολὺ δὲ αὖθις οἱ νικηταὶ δυστυχήσουσι καὶ διωχθήσονται καὶ ἁπλῶς τοῖς ἁπανταχοῦ κακὰ ἔσται ἐπὶ το-
20 σούτους ἐνιαυτούς, ἐφ' ὅσας ἡμέρας ἡ τοιαύτη διοσημεία φανήσεται.

1 φαίνοιτο *DL*, φαίνεται *MN* | post δὲ add. καὶ *D* | φανῇ *DL*, om. *MN* ‖ 2 ἀπώλειαν καὶ om. *DL* | ἀπειλεῖ *DL*, om. *MN* ‖ 3 ἀπολοῦνται — συμβήσονται (11) om. *L* ‖ 4 ἐν πολέμοις *D* ‖ 6 τοῖς] τῶν *N* ‖ 7 καὶ — ἔσται om. *D* | λοιμὸς scripsi pro λιμὸς ‖ 10 φοινικοὶ *M* ‖ 11 καθολικὰ δὲ *D* | post ἔσται add. ἢ *N* ‖ 12 τὰ hab. solus *D* ‖ 13 χείρονα] hic explicit *L* ‖ 16 στάσεις τε *D* ‖ 17 ἐπικλώσωσι τὰς στρατείας *N* ‖ 18 διωθήσονται *D*, διοφχθήσονται *N* ‖ 21 φανήσεται] hic explic. *DMN*

OBSERVATIONES GENERALES AD LVNAM SPECTANTES

16. *Οἱ δεισιδαιμονίαις τισὶν ἀναδεδεμένοι — ταύτῃ γὰρ καὶ ῥελεγιῶνες παρ' Ἰταλοῖς καλοῦνται παρὰ τὸ ἀναδεσμεῖν ἀγκύρας δίκην τοὺς πίπτοντας — οὐ τἀ-* 5 *ληθὲς σκοπεῖν φιλοῦσι, κἂν (εἰ τυχόν) παρὰ τοῖς μὴ τὰ αὐτὰ δοξάζουσιν ᾖ αὐτοῖς, ἀλλ' ἔχειν νόμον συνεκτικὸν τῆς ἐκείνων δόξης ὑπολαμβάνουσι τὸ μάχεσθαι πρὸς τοὺς ἐναντίους εἰκῇ, καὶ τόδε σχετλιώτερον, ἴσως καὶ αὐτοὶ συναισθανόμενοι τῆς αὐτῶν πλάνης* 10 *εὐσεβὲς ὅμως νομίζουσιν, εἰ καὶ ψευδόμενοι ταῖς οἰκείαις συμμαχοῖεν πλάναις. οὐ γὰρ ἐπίστανται τὴν φύσιν τῶν εἰκῇ διαβαλλομένων αὐτοῖς, φάσκοντες ὡς ψευδὴς καὶ διάφωνος τοῖς* π α λ α ι ο ῖ ς *ἡ περὶ διοσημειῶν ἐξερεύνησις· καὶ συγγνώμης αὐτοῖς μεταδοτέον.* 15

Desunt plura.

60 A 16ᵃ. ... *ίαν τῷ παν[τὶ παρ]έχουσ[α· καὶ ὅσα ἁ]πλῶς ἐν] τῷ περ[ὶ] γενέσ[εως καὶ] φθ[ορᾶς ὁ φιλόσοφος*

3—15 habet solus *T*: de hoc fragm., quod inscribitur *σεληνιακαὶ ἐπιτηρήσεις Ἰωάννου Λυδοῦ τοῦ Λαυρεντίου*, vide proleg. ‖ **4** *ῥελεγιῶνες T* mrg., *ῥεγελιῶνες T* ‖ **5** *ἀγκύρας T* mrg., *ἀγκεῖρος T* | *οὐ τἀληθὲς* corr. Wünsch 'Byz. Zeitschr.' V p. 410 pro *οὔτ' ἀληθὲς* ‖ **9** *τόδε* corr. Wünsch pro *τὸ δὴ* ‖ **11** *εὐσεβὲς* corr. idem pro *εὐσεβεῖς* ‖ **15** *ἐξερεύνησις* scripsi mus. Rhen. LII p. 138 n. 1 pro *ἐξηρεύνεται* ‖ **17** incipit fol. 7 in *C*; in eo folio, quod in *C* desideratur, per se probabile est post finitam Campestris de cometis dissertationem, cuius finem ex codd. *DLMN* supra scripsi, Lydum transiisse ad observationes lunares. ibi Hase ex peroratione capitis 16 suspicatur auctorem suscepisse defensionem disciplinae auguralis contra voces quorundam negantium consociari eam posse cum pietate rectaque persuasione de numine ac mente dei. cui opinioni opposuisse videtur ratiunculas e libris Aristotelis de caelo deque generatione et corruptione conquisitas: tempestatum vicissitudines rerumque

ἀνα]φ[έρει. ὥστε ἀν]άγκη π[ᾶ]σα τῶν ὑπὸ σ[ελήν]ην πάντων [μὴ] μίαν [μ]ηδὲ τὴν αὐτὴν εἶναι φύσιν. εἰ γὰρ ἀρχὴ γενέσεως καὶ φθορᾶς σελ[ήνη, εἰκός ἐστι] μὴ ἀεὶ [ὡσ]αύτως θεωρεῖσθαι τὰ ὑπ' [αὐ]τὴν φυ[όμενα
5 σύμπα]ντα. εἰ γὰρ ἔκκ[εντρ]ος παρὰ τ[οὺς ἄλλους τ]ῶν [π]λανωμένων αὕτη, λοξῶς καὶ οὐ πρὸς ὀξὺ τὰ τῶν ἀποτελεσμά[τ]ων γίνεται. οἱ μὲν γὰρ κατὰ τοὺς B διαπλόκο[υς] πόλους [τὴν ἐπὶ ταῖς] διοσημείαις μαντείαν ἀπευθύνουσ[ιν, ἄ]λ[λοι δὲ κατὰ] τὰς [ἐπιτο]λὰς
92 ἢ κατὰ τὰς φάσεις· καὶ οὗτοι μὲν π[ρὸς τὰ ζ]ῴδια
11 τὸν ἥλι[ον ἐ]πιτηρήσαντες, ἐκεῖνοι δὲ πρὸς τ[ὰς σεληνια]κὰς συνόδους [καὶ ἀπο]στάσεις, ἄλλοι κατὰ 62 A φυσικ[άς τι]νας ἐπιτηρήσεις. κῆ[ρυξ δὲ τῶν ἀπορρήτω]ν ἡ φύσις. ὥσ[τ' οὐκ ἔ]ξω φρενοβλαβείας [μέμ-
15 φον]ται [ταῖς μεθό]δοις δι' ὧν τοῦ μ[έλλοντος στοχάζ]εσθαι εἰσαγό[μεθα]· οὐδὲ [τὸ] περὶ τὴν τ[ῶν ἀστέρων θεωρίαν δι]ασχολεῖν [ἔξω θεοσεβ]είας [ποι]εῖ· ἀλλ' ἔτι μᾶλλον τὴν [πάνσο]φον ἔστι διὰ [τῶν ἔργ]ων αὐτῶν θεωρῆσαι πρόνοιαν τ[οῦ πάντ]ων ἀρρήτου
20 [πατρ]ός, [καὶ θ]αυμάσ[αι τὴν ψυ]χὴν ἀνθρώπου δύ- B νασθαι ἡγουμένου θεο[ῦ καὶ] περὶ τῶν οὐρανίων, ὡς δυνατόν, διαλέγ[εσθαι. ταῦ]τα μὲν οὖν Φούλβιός φ[ησιν, ἐκ τ]ῶν τοῦ Νουμᾶ ἱ[στορήσας. ἡμεῖς δ]ὲ μετὰ [τὰς ἐκ δια]φόρων συνειλεγμένας δόξας [καὶ τὰς 64 A
25 ἐξ ὁ]μαλοῦ τοῖς πα[λαιοῖς γραφ]είσας ὑποθήσομεν,

humanarum commutationes, modo leges a providentia fixas noveris, non minus a mortalibus sciri praedicique posse quam siderum cursum impetumque caeli. quam ad argumentationem pertinent quae sequuntur, sed ex initio capitis unum frustulum superest, quod supra ex *T* addidi ‖ 5 *σύμπαντα* supplevi | *εἰ γὰρ*] *εἴ γε* suspicatur H. ‖ 17 *δι*]*ασχολεῖν* scripsi: *ἀ*]*πασχολοῦν* H. ‖ 24 *συνειλιγμένας* *C* ‖ 25 *ὑποθήσωμεν* *C*

ἐκ τῶν περὶ [σε]λήνης σχηματι[σμῶν κατὰ τὰ ζ]ῴδια τῆς θεωρίας λαμβάνοντες.

VETERVM OBSERVATIONES AD LVNAM SPECTANTES SECVNDVM MENSES LVNARES DISCRETAE 5

17. [*Σελήνη*] ⟨*ἐν*⟩ *αἰγόκερῳ. [ἐὰν κατὰ τὴν διχομηνίαν ἡ σελή]νη ἀμυδρὰ φανῇ, εὐθηνία ἔσται. [ἐὰν δὲ ἐν τῇ δευτέρᾳ φυλακῇ ὁμο]ίως ἀμυδρὰ φαίνηται, ἔφοδον πολε[μίων σημαίνει. εἰ]* .... *ας τεκμήριον. εἰ δὲ* .... *[ἀ]πειλεῖ.* 10 *εἰ δὲ ἄστρον διαδρά[μοι, ἀπώλειαν ἀνθρώπων σημαίνει.* B *ἐὰν δὲ ὁμί]χλη γένηται, χάλαζα [πεσεῖται. ἐὰν δὲ ἄνεμοι βιαιοτέρως] πν[εύσω]σιν, ἐφόδους πολεμίων [φράζουσιν].*

[*Σελήνη* ⟨*ἐν*⟩ *ὑδρο*]*χόῳ. [εἰ κατὰ τὴν πρώτην* 66A *ἢ δευτέραν φυλ]ακὴν ἡ σελήνη ἀμυδρὰ φαίνοιτο, πόλεμος ἔσται· εἰ δὲ κατὰ τὴ[ν ἑωθι]νήν, εἰρήνην μετ[ὰ ἐλλεί]ψεως τῶν ἐπι[τηδ]είων δηλοῖ. εἰ δὲ σεισμὸς ἢ* 293 *ἦχος ἐκ τοῦ οὐρανοῦ γένηται, νόσους σημαίνει. εἰ δὲ ὁμίχλη γένηται, σίτου κα[ὶ ο]ἴνου δαψίλειαν δηλοῖ. εἰ δὲ παρ' ὅλον τὸν μῆνα ἐπιτείνουσι πνεύματα,* 20 *[ὑε]τὸς ἥ[ξει. εἰ ὁ] Ἕσπερος ἐν τῇ σελήνῃ εἰσέλθῃ, [ἴδιοι ἰ]δίοις δυνατοὶ ἐπ[ιβουλεύσο]υσιν. εἰ δὲ δ[όξ]ῃ* B *ἐκλιπεῖν ἡ σελήνη** σελήνης συνέλθωσι, σίτου ἀφθονία ἔσται. εἰ δὲ ἄστρον ἐκτρέχον ἐπὶ τὸν [οὐ]ρανὸν αὐλακίζει, κίνδυνον τοῖς παραλίοις ἀπειλεῖ.* 25

3—5 hoc calendarium lunare num ad Capitonem referendum sit, vide proleg. ‖ **6. 14. p. 49, 1** et ita semper infra *ἐν* ante nomina siderum zodiacalium addidi; solebant enim haec simpliciter signis depingi, non verbis describi, ita ut in talibus saepissime praepositio a librariis omissa sit ‖ **12** *ἐὰν* bis scripsi ‖ **13** *πνεύσωσιν* scripsi ‖ **23** ** omisit librarius clausulam

Σελήνη ⟨ἐν⟩ ἰχθύσιν. εἰ ὁ ἥλιος φαύλως ἐκλάμπειν δόξῃ, φθορὰ ἔσται ἀνθρώπων. [εἰ δὲ] ἐν τῇ 68 A πρώτῃ φυλακῇ ἡ σελήνη τὰς κεραίας συνάγῃ, εἰρήνη [ἔσται]. εἰ δὲ σ[εισ]μὸς γένηται, ἀπορίαν σημαίνει
5 τοῖς συναλλάγμασιν. ἐά[ν] ἄστρον ἐν ἡμέρᾳ φανῇ, ἀνάγκη τὰ κοινὰ περ[ιστήσετ]αι. ἐὰν [κε]ραυνὸς [εἰς] γῆν [πέσῃ, π]αῦλα τῶν κακ[ῶν. ἐὰν] ὁμί[χλη εἰς τὴν] γῆν πέσῃ, συνοίσει τοῖς καρποῖς.

18. [Σελήνη ἐν κριῷ]. εἰ ἡ σελήνη ταρ[αχώ]δης
10 φανῇ, πόλεμοι ἔσονται καὶ ἐπ[αναστάσεις]. εἰ δὲ B κατὰ τὴν [δευ]τέραν φυλακὴν ἡ σελήνη αἱματώδ[ης φανῇ, ὁ] σῖτος ἔσται ἀφθονώτατος. ἐὰν ὁ Ἕσπερος ἐγγίζῃ τῇ σελ[ήνῃ, πό]λεις π[όλεσι συρ]ραγήσονται καὶ λιμὸς ἔσται. εἰ νυκτὸς πρηστὴρ κατ[εν]εχθείη,
15 βασιλ[εὺς τοῖς] ἑαυτοῦ ἐπιβουλεύσει. εἰ δὲ σεισμὸς γ[ένηται], ἔνδειαν σί[του ση]μαίνει. εἰ δὲ ἦχος ἐκ 70 A τοῦ οὐρανοῦ γ[ένηται, οἱ τῆς] Εὐρώπης τοῖς τῆς ἄνω
294 Ἀσίας πολεμήσουσιν. ἐὰν ἡ ἀ[ριστερὰ κεραία] τῆς σελήνης δόξῃ ὑπερβάλλειν τὴν ἄλλ[ην, αὐχμὸς ἔσται
20 καὶ σίτου] ἀπορία. ἐὰν ἐν ἡμέρᾳ πρώτῃ τῆς φων[ῆς .... ἄ]νεμοι τὸν μῆνα καταπν[εύσουσιν].

Σελήνη ἐν ταύρῳ. εἰ ἐκλίπῃ ⟨ὁ⟩ ἥλιος, ἐρήμωσιν ἀπ[ειλεῖ τοῖς ἀνθρώποις. εἰ ἡ σελήνη] ἐπὶ τῆς δευτέρας φυλακῆς τα[ραχώδης φανῇ, φθορὰ ἀνθρώ-
25 πων] ἔσται. εἰ ἡ σελήνη ἐξ ἴσου τὰς κε[ραίας ἀνίσχουσα B ἔχῃ, θόρυβον] τῇ βασιλείᾳ ἀπειλεῖ· εἰ δὲ κατ[ὰ τὴν] μί[αν μόνον ἐξέχῃ, θό]ρυβοι ἔσονται καὶ φυγαί. εἰ

prioris et initium sequentis sententiae; hoc cum H. supple: *εἰ δὲ αἱ κεραῖαι τῆς* ‖ **1** *φαυλος C* ‖ **10** *φανῇ* corr. Hercher pro *φανῆται* ‖ **14** *κατ . . εχεθειη C* ‖ **19** *ἄλλην*] H. malit *τὴν ἑτέραν* ‖ **20** *τῆς φων[ῆς* vix sanum ‖ **22** *ὁ* addidi

72 A δὲ σει[σμὸς γένηται ἀπὸ πρώτης τοῦ] μηνὸς ἕως δωδεκάτης, ἀφαίρεσιν τῆς ἀρχῆς τῷ ἡγουμένῳ τοῦ τόπου, ἐφ' οὗ γενήσεται, καὶ φόβον οὐκ ἀκίνδυνον ἀπειλεῖ. εἰ δὲ ἀπὸ δωδεκάτης γένηται, οὐ μόνον ἀποκινεῖται ὁ ἐπιτροπεύων τὸ ἔθνος, ἀλλὰ καὶ ἀπόλ- 5 λυται. καθολικῶς δέ, ὅποι ἂν σεισμὸς ἀπὸ δεκάτης ἕως τριακοστῆς τοῦδε τοῦ μηνὸς συμβῇ, θορύβους καὶ πολέμους ἀποτελεῖ. εἰ ἀπὸ πρώτης φυλακῆς ἕως ἕκτης B σεισμὸς γένηται, πολέμου ἐθνικοῦ κίνησις ἔσται, ὁ δὲ ἡγούμενος τοῦ κινήματος ἀναιρεθήσεται. 10

Σελήνη ⟨ἐν⟩ διδύμοις. εἰ ἔκλειψις γένηται ἡλιακή, μεταβολὴ ἔσται καὶ ἐπὶ τῶν πραγμάτων [ἕτ]εροι ἔσονται. εἰ δὲ τῆς πρώτης φυλακῆς ἐκλίπῃ ἡ σελήνη, ἀκρίδες ἔσονται· εἰ δὲ ταραχώδης φανῇ, πόλεις πρὸς πόλεις καταφεύξονται. ἐὰν ὁ τῆς Ἀφροδίτης 15 ἀστὴρ ταραχώδης γένηται, ἀνθρώπων φθορὰ ἔσται. ἐὰν νυκτὸς ἀστὴρ πέσῃ, κακῶν σημεῖον, ὥσπερ εἰ ἐν 295 ἡ[μέρᾳ] ὀφθῇ. ἐὰν πρηστὴρ πέσῃ, θόρυβος ἔσται ταῖς C πόλεσι ταῖς πρὸς τὴν ἀνατολήν. εἰ σεισμὸς γένηται, χάσματα τοπικὰ ἔσται. ἐὰν ὁμίχλη πυκνωθεῖσα εἰς 20 γῆν πέσῃ, σῖτος ἔσται πολύς. εἰ ὁ ἥλιος αἱματώδης γένηται, ἀποβολὴ ἔσται ἀνθρώπων. ἐὰν πνεῦμα ἐξαίσιον πνεύσῃ ἐπὶ ἑπτὰ ἡμέρας, σῖτος ἔσται πολύς. ἐὰν ἀπὸ νεομηνίας ἕως ἐννάτης τοῦ μηνὸς τούτου 74 A σεισμὸς γένηται, φθορὰν ἀνθρώπων ἀπειλεῖ. εἰ δὲ 25 ἀπὸ ἐννάτης ἕως δεκαεννάτης σεισμὸς γένηται, ὁ κρα-

1 *τοῦ* addidi, quod permittit spatium in *C* | *μηνὸς* scripsi pro *μαιου* ‖ **3** *γενήσεται* corr. Hercher pro *γένηται* ‖ **4** *μονον ουκ C* ‖ 8 post *ἕκτης* intercidisse *ὥρας* H. suspicatur, perperam, opinor; sed corruptum esse locum liquet. fort. pro *ἕκτης* coll. p. 51, 22 scribendum est *τρίτης* vel *ἑωθινῆς* coll. p. 52, 2: 20 ‖ **13** ante *τῆς* addi mavult H. *ἐπὶ*; recte, opinor coll. p. 53, 11

τῶν τῶν πραγμάτων κάκιστα διαγενήσεται, ἔσται δὲ
καὶ λιμὸς τοῖς κτήνεσι καὶ ὕδατος λεῖψις. εἰ ἀπὸ
εἰκοστῆς σεισμὸς γένηται, ταπείνωσιν τοῖς διὰ λόγων
ἀπειλεῖ, τῷ δὲ τόπῳ ἐναλλαγὴν ἄρχοντος. εἰ ἀπὸ
5 εἰκοστῆς πέμπτης ἕως τριακοστῆς σεισμὸς γένηται, χει-
μῶνας μεγάλους σημαίνει, [καὶ] πόλεμος ἔσται καὶ
ἀπόπτωσις ἄρχον[το]ς κλεινοῦ. εἰ ἐπὶ τῆς τριακάδος B
[σει]σμὸς γένηται, χειμῶνας μεγάλους σημαίνει.

19. [Σελήνη <ἐν> κα]ρκίνῳ. [εἰ] ἡ σελ[ήνη
10 ἀμυδ]ρὰ ὀφθείη, στράτευμα ἀλλότριον ἐπὶ τὴν βασι-
λέως ἥ[ξει χώραν. ἐ]ὰν ἦχος ἐκ τῆς γῆς γένηται, τύ-
ραννος ἀναιρεθήσεται. [ἐὰν κε]ραυνὸς πέσῃ εἰς γῆν,
πόλεις παράλιοι ἐρημωθήσον[ται καὶ ἀπ]ορία ἔσται
ἀνθρώπων. ἐὰν ἡ σελήνη αἱματώδης φανῇ, ἄνδρες 76 A
15 δυνατοὶ κακοδαιμονήσουσιν· ἐὰν ἡ [σελήνη ἐξ ἴ]σου
ἔχῃ τὰς κεραίας, εἰρήνη ἔσται καὶ εὐθηνία· εἰ δὲ ὑπερ-
έχῃ <ἡ> ἑτέρ[α] τὴν ἑτέραν, ὕδατος ἔσται λείψις. εἰ
296 σεισμὸς γένηται ἀπὸ πρωῒ ἕως μεσημβρίας, θεοχολω-
σίαν ἀπειλεῖ· εἰ ἀπὸ ἕκτης ἡμέρας ἕως τριακάδος σεισμὸς
20 γένηται, τοῖς μὲν πρωτεύουσι τῆς χώρας μετανάστασιν,
τοῖς δὲ λοιποῖς θόρυβον ἀπειλεῖ. εἰ δὲ ἀπὸ πρώτης
φυλακῆς τῆς νυκτὸς ἕως τρίτης ἀρχομένης σεισμὸς B
γένηται, τοῖς μὲν διὰ λόγων ὀφθεῖσιν ἀτιμίαν ἀπειλεῖ,
τοῖς δὲ βιβλίοις φθορὰν καὶ [τοῖς] περὶ τὴν ἀνατολὴν
25 πολέμους.

Σελήνη <ἐν> λέοντι. εἰ ὁ ἥλιος ἀμαυρὸς γενή-
σεται, μέγας ἀνὴρ ἀπολεῖται, ἐπὶ δὲ τῶν πραγμάτων

4. 5 *ἀπὸ εἰκοστῆς πέμπτης* corr. H. pro *ἀπο ιε* ‖ **7** *κλεινοῦ* H. coni. pro *καινοῦ*, cf. p. 130 A ‖ **17** *ἡ* add. Bekker ‖ **19** *ἡμέρας* scripsi pro *ὥρας* coll. p. 52, 12 ‖ **21** pro *λοιποῖς* H. coni. *κοινοῖς*, quod opponatur *τοῖς πρωτεύουσιν*

ἕτερος ἔσται ἀρχικώτερος. εἰ ἡ σελήνη ἀμαυρὰ γέ[νηται] τῇ ἑωθινῇ φυλακῇ, στράτευμα ἀλλότριον ἐπελεύ[σεται τῇ τοῦ βασι]λέως χώρᾳ. ἐὰν σεισ[μὸς] γένηται,
C θόρυβος ἔστ[αι καὶ ἀ]νδρὸς δυ[να]τοῦ ἀναίρεσις. εἰ
78 A κεραυνὸς πεσεῖται, πόλει[ς πα]ράλ[ιοι ἐρημω]θήσονται. εἰ ἡ σελήνη αἱματοειδὴς φανῇ, ἀπώ[λειαν δ]υνατ[ῶν δη]λοῖ. εἰ ἄνεμος σφοδρὸς πνεύσῃ, τῇ χώρᾳ συνοίσει. ἐὰν ὁμίχλη [πέσῃ, ἀ]νάγκη συμπεσεῖται ἀνδρὶ μεγάλῳ. ἐὰν σεισμὸς γένη[ται ἀπὸ] νου[μηνίας ἕ]ως δεκάτης, φόνους καὶ στενώσεις καὶ φθορὰν τῶν κτηνῶν ἀπειλεῖ [ἢ λι]μόν, [με]ταλλάξει δὲ καὶ ὁ ἡγούμενος
B τῆς χώρας. εἰ ἀπὸ δεκάτης ἕως τριακοστῆς σεισμὸς [γένηται], σημαίνει μὲν ταραχὰς καὶ φυγάς, ἐλπίδα δὲ ἀγαθῶν. εἰ σεισμὸς γένηται „νύκτα παρ' ἀμφιλύκην", πρὸς μὲν βραχὺ ἀγα[θὰ ἔσται], ἀκολουθήσει δὲ τὰ πάντων ἀλγεινότατα.

Σελήνη ⟨ἐν⟩ παρθένῳ. εἰ ὁ ἥλιος ἐρυθρὸς γένηται, [σύμ]μαχοι ἀποστήσονται. εἰ ἡ σελήνη ἀμαυρὰ
80 A γένηται τῇ πρώτῃ φυλ[ακῇ, φ]θορὰ κτηνῶν ἔσται. εἰ τῇ ἑωθινῇ φυλακῇ τὸ αὐτὸ γένητ[αι, μέγας ἀνὴ]ρ ἀπολεῖται. εἰ ὁ τῆς [Ἀ]φρο[δί]της ἀστὴρ πλησίον τῇ σε[λήνῃ γένηται, πολέμ]ους ἐμφ[υλίους ἀ]πειλεῖ. εἰ πρηστὴρ πέ[σῃ, αἱ] παράλιοι πόλεις ἀφ[ανισθήσονται. εἰ ἀπὸ γ]ῆς ἦχος γένηται, πόλεμον τοῖς παραλίοις [ἀπει]λεῖ. [εἰ σελήν]ης ἀνισχούσης αἱ κεραῖαι [αὐτῆ]ς ἀλλήλαις πλησιάσωσι, κατο[μβρίαν δηλοῖ] εἰς ἀπώλειαν
B καρπῶν. εἰ ἐκλίπῃ ἡ σελήνη, μέγας ἀ[νὴρ ἀ]πολεῖται. εἰ σεισμὸς γένηται, ἀνθρώπων φθορὰν ἀπειλεῖ. εἰ ἐν ἡμέρᾳ ἀστέρες φανῶσιν, ἀναίρεσις ἔσται ἀνθρώπων.

2. 3 H. restituit coll. supr. p. 51, 10 ‖ **14** *νυκτὸς παρ' ἀμφιλύκῃ C*: corr. Hercher coll. Homer. *H* 433

εἰ ἄνεμος βίαιος πνεύσῃ, εἰρήνην παρ' ὅλον τὸν ἐνι-
αυτὸν δηλοῖ. εἰ σεισμὸς γένηται ἀπὸ νουμηνίας ἕως
ἑβδόμης, εὐθηνίαν, ἅμα δὲ καὶ βίαιον θάνατον προσδο- 82 A
κητέον καὶ Περσῶν ἔφοδον. εἰ ἀπὸ ὀγδόης ἕως δε-
5 κάτης σεισμὸς γένηται, ἔνδειαν σίτου ἀπειλεῖ. εἰ
σεισμὸς γένηται νυκτός, φθορὰν τῶν πρωτευόντων
τοῦ ἔθνους καὶ ἀλλοίωσιν τῶν πραγμάτων ἀπειλεῖ.
εἰ πολλάκις γένηται σάλος, ταραχὰς καθολικὰς προ-
λέγει καὶ τῶν δυναστῶν μετάπτωσιν.

10 20. Σελήνη ⟨ἐν⟩ ζυγῷ. εἰ ὁ οὐρανὸς ταραχώδης
γένηται ἐπὶ τῆς πρώτης φυλακῆς τῆς νυκτός, λιμὸν
ἀπειλεῖ· εἰ δὲ ἐπὶ δευτέρας, δυτικαὶ πόλεις αἰχμαλω- B
τισθήσονται· εἰ δὲ ἐπὶ τῆς ἑωθινῆς, λικμητὸν ἀνθρώ-
ποις ἀπειλεῖ. εἰ ἦχος ἀπὸ τῆς γῆς γένηται, φθόνους
298 ἀπειλεῖ. εἰ πρηστὴρ πέσῃ, παλαιαὶ πόλεις ἐρημωθή-
16 σονται. εἰ ὁ Ἕσπερος ὑπὸ τῆς σελήνης διέλθῃ, ἀνὴρ
δυνατὸς ἀναιρεθήσεται. εἰ παρὰ πάντα τὸν μῆνα
βίαιος ἄνεμος ῥεύσῃ, ταραχὰς ἀπειλεῖ. εἰ σεισμὸς ἀπὸ
νουμηνίας ἕως δεκάτης γένηται, φθορὰ κτηνῶν ἔσται
20 καὶ πτῶσις τοῦ ἡγουμ[ένου τῆς] χώρ[ας]· εἰ δὲ ἀπὸ
ἑνδεκάτης ἕως $\overline{λ}$, προνομὴν ἀπειλεῖ τῆ[ς χ]ώρας. C

Σελήνη ⟨ἐν⟩ σκορπίῳ. [εἰ κατὰ τὴν] πρώτην
τῆς νυκτὸς φυλακὴν αἱματώδ[ης ἡ σελήνη φανῇ, ἀντ]-
αρσίαν καὶ ἑτέρου προαγωγὴν δηλοῖ. εἰ ὁμιχλ[άνῃ ὁ
25 ἀὴρ ἢ ἐπὶ γῆ]ς ῥίψῃ τὴν ἀχλύν, φθορὰ ἔσται σίτου. 84 A
εἰ δὲ διάττῃ ἀστήρ, [φθορ]ὰν σίτου καὶ ἀνθρώπω[ν
ἀπειλε]ῖ, ὅταν μέντοι ἀπὸ ἀνατολῶν εἰς δυσμὰς ἐκ-
τρέχῃ. εἰ δὲ ἦ[χος ἐκ τῆς γ]ῆς γένηται, φυγὴν

14 φόνους coni. H. ‖ **20. 21** ἀπὸ ἑνδεκάτης corr. H. pro απο $\overline{ιε}$ ‖ **25** pro ῥίψῃ coni. H. ῥήξῃ ‖ **27. 28** ἐκτρέχοι *C*: correxi, ceterum arbitratus hic deesse aliquid ‖ **28** φυγειν *C*

ἀπ[ειλεῖ]. εἰ δὲ αἱ κεραῖαι τῆς σελ[ήνης σ]υμ[πέσωσι], σῖτος μὲν ἔσ[ται πολύς, τετρα]πόδων δὲ θά-[νατος καὶ θηρ]ίων ἔσται. εἰ σεισμὸς γέ[νηται, ἀνὴρ ἀ]πολεῖ[ται μέγας. εἰ δ' ὁ Ἕ]σπ[ερο]ς ἐγγίσῃ τῆς B σελήνης, θόρυβοι ἔσονται. 5

Σελήνη ⟨ἐν⟩ [τοξό]τῃ. [εἰ ἡ σελήνη αἱματώδης φανῇ, πόλ]ει[ς μ]εγάλαι ἀνάστατοι ἔσονται. εἰ ἡ [σελήνη ἀμαυρὰ γένηται κα]τὰ τὴν πρώτην φυλακὴν ἢ κατὰ τὴν [μεσ]ομ[ηνίαν, οἱ περὶ τὰ βασί]λεια ταραχθή-86A σονται· εἰ δὲ κ[ατὰ τὴν] δευτέραν φυλακήν, τοῖς ἐν 10 θαλάσσαις πόλεμον δηλοῖ· εἰ δὲ τῇ ἑ[ωθι]νῇ, ἀνὴρ δυνατὸς ὑπὸ βασιλέως ταραχθήσεται. εἰ κατὰ τὸν αὐτὸν καιρὸν ἡ σελήνη αἱματώδης φανῇ, σφαγὰς ἀπειλεῖ. εἰ πνεῦμα βίαιον παρ' ὅλον πνεύσῃ τὸν μῆνα, ἄνδρες μεγάλοι ἀπολοῦνται. εἰ ἀστὴρ διάττοι ἀπὸ 299 τοῦ νότου ἐπὶ τὸν βορρᾶν, οὐ μόνον αὐτὸν πνεῦσαι 16 τὸν νότον, ἀλλὰ καὶ πόλεμον τοῖς ἐπιθαλασσίοις δηλοῖ. B εἰ ὁμίχλη πέσῃ εἰς τὴν γῆν, βλαβερὸν τῷ σπόρῳ. εἰ ἐκλείψῃ ἡ σελήνη, φθορὰ ὑποζυγίων ἔσται. εἰ ἦχος ἐκ τῆς γῆς γένηται, ἀνθρώπων φυγὴ ἔσται. εἰ αἱ 20 κεραῖαι τῆς σελήνης συμπέσωσι, σῖτος ἔσται πολὺς καὶ θάνατος τετραπόδων καὶ φθίσις ἀνθρώπων.

ΠΕΡΙ ΒΡΟΝΤΩΝ

C 21. Πολλῶν καὶ ὑπὲρ ἀριθμὸν ὄντων ὅσα τοῖς φυσικοῖς περὶ βροντῶν ἐδόκει, κέκριται συμβαίνειν 25

23 institutio tonitrualis (cap. 21 usque ad 26) extat etiam in *R* fol. 70 vers. et *V* fol. 282 vers., praeterea in *P* fol. 183 vers.; in *PR* inscribitur: προοίμιον (προοίμιον om. *R*) ἰωάννου λαυρεντίου λυδοῦ φιλαδελφέως ἐπὶ τῆς βασιλείας ὑπάρχοντος (ὄντος *R*) ἰουστινιανοῦ τοῦ μεγάλου καὶ ἀναστασίου περὶ βροντῶν, in *V* solum Ἰωάννου Λαυρεντίου Λυδοῦ Φιλαδελφέως ἐπὶ τῶν βροντῶν ‖ **25—p. 55, 5** cf. Lyd. de mens. III 53, ubi omnia

αὐτὰς ἀπορρηγνυμένων τῶν νεφῶν καὶ ἐπικυλιομένων ἑαυτοῖς κινήσει σφοδρᾷ, τῇ τε προσρήξει ἐξαπτομένων εἰς ἀστραπὰς καὶ ἤχους κάρτα βιαίους, ἀλλοιοῦσθαι δὲ τὸν ἀνάμεσον τῆς ὑπηνέμου ζώνης καὶ τῆς γῆς
5 ἀέρα. Χαλδαῖοί γε μὴν δυνάμεων ἀερίων εἶναι φωνὰς μὲν τὰς βροντάς φασι, δρόμους δὲ τὰς ἀστραπάς. τῷ δὲ Ἐπικούρῳ ἀπὸ ξηρᾶς ὀγκώσεως ἐκ τῆς γῆς, 88 A εἶτα ἐγκλειομένης τοῖς ὄρεσι, δίκην τῶν ἐν τοῖς σώμασιν ὄγκων, οὔπω διεξόδου τυχόντων, στρόφους
10 καὶ τροχώσεις ἐμποιοῦσι τῷ κατ' αὐτὸν λεγομένῳ κενῷ· οὐδὲ γὰρ δυνάμεων εἶναι πλήρη τὸν ἀνάμεσον οὐρανοῦ καὶ τῆς γῆς δίδωσι χῶρον κατὰ τοὺς Πυθαγορείους. καὶ ἀληθῆ ἀξιοῖ λέγειν τῷ μὴ καθ' ἑτέραν ἢ κατὰ τὴν θερινὸν ὡς ἐκ τοῦ πλείονος ὥραν βροντὰς B
100 ἐπιρρήγνυσθαι, καὶ διαφερόντως ἐκδίδοσθαι ξηροτέρας,
15 ἡνίκα βαθείας οὔσης τῆς ἐν τῷ μέσῳ χώρας ὄρεσιν ὑψηλοῖς ὁ τόπος ἐγκλείοιτο. καὶ ἅμα μὲν οὖν αὐτοῖν ἑκάτερον γίνεται, ἥ τε βροντὴ ἥ τε ἀστραπή· ἐπειδὴ δὲ ὀξυτέρα τῆς ἀκοῆς ἡ ὄψις τῷ θᾶττον ἐπὶ πᾶν ἐκ-
20 τείνεσθαι, πρώτην ὁρᾶσθαι πολλάκις συμβαίνει τὴν ἀστραπήν.

22. Πᾶσα δὲ βροντή, καὶ τούτων αἱ μετέωροι καὶ C

deprompta sunt ex Aristot. de mundo p. 395ᵃ 11—14 ‖ 2 προρρήξει *P* ‖ 3 βιαίας *P* ‖ 4 ἐπηνέμου *P* ‖ 6 φασι om. *P* | δρόμον *P* ‖ 7 τῶν δ' ἐπικούρων *P* ‖ 7—11 cf. Laert. Diog. X 100 et 103 Usenerique Epicurea p. 386 sq. ‖ 8 συγκλειομένης *P* ‖ 9 διεξόδων *C* | ante στρόφους add. οἱ *C* ‖ 10 αὐτῶν *C*, αὐτοὺς *R* ‖ 12 τῆς om. *P* ‖ 13 ἀληθῆ om. *C* | τῷ] τὸ *C* ‖ 14 θερινὴν *P* | ὁρᾶν *PRV* ‖ 17 ἐγκλείοιτο corr. H. pro ἐκκλείοιτο | αὐτοῖν] sic *P*, αὐτὸν ceteri ‖ 17—21 Plin. II 142 *fulgetrum prius cerni quam tonitrum audiri, cum simul fiant, certum est nec mirum, quoniam lux sonitu velocior.* cf. Aristot. meteor. II 9, 9 ‖ 18 ἥτε βροντὴ *P*, ἡ βροντὴ *C*: corr. Hercher | ἥτε ἀστραπή *P* ‖ 19. 20 ἐπανεκτείνεσθαι *P* ‖ 22 Plin. II 142 *laeva prospera existumantur, quoniam laeva parte mundi ortus est* | ἔρωροι *C*

διηχέσταται μάλιστα, σημαίνουσί τι, καὶ διαφερόντως ⟨αἱ⟩ ἐκ τοῦ ἀριστεροῦ μέρους τοῦ κόσμου· τοῦτο δ' ἂν εἴη τὸ νότιον (αἱ γὰρ πρὸς νότου εἰσὶ θειότεραι κατὰ τὸν ποιητήν), ἐπεὶ καὶ πρὸς τοῦ τῆς γῆς ἐφόρου ἐπιτροπεύεται, ὡς *Αἰγυπτίοις* δοκεῖ, τοῦ Κρόνου 5 λέγω, ὥσπερ τὸ βόρειον ὑπὸ τοῦ τῆς γενέσεως αἰτίου· ὅθεν καὶ πρὸς νότον τὰ ἱερὰ ἀπευθύνεσθαι *Ἑβραίοις* D καὶ *Αἰγυπτίοις* δοκεῖ. τὰ δὴ οὖν χρησιμώτατα τῶν περὶ τούτου θεωρημάτων καταμαθὼν καὶ τῶν κιβδήλων ἐκκαθάρας τὴν θεωρίαν ὑποθήσω τῷ λόγῳ· 10 ποικίλης γε μὴν οὔσης καὶ πολυσχιδοῦς τῆς θεωρίας, τέως χρειῶδες διαρθρῶσαι τὴν παράδοσιν.

90 A Οἱ μὲν δὴ *παλαιοὶ* τῶν περὶ ταῦτα σπουδαίων πρὸς τὴν *σελήνην* καὶ τὰς ἐν αὐτῇ φάσεις τὸν περὶ βροντῶν σκοπὸν ἀπευθύνουσιν, ἐπεὶ καὶ μᾶλλον ἐπι- 15 βέβηκεν αὕτη τῷ γένει τῷ παντὶ καὶ πάντα προσεχῶς διοικεῖται δι' αὐτῆς, ὅθεν καὶ Τύχη πρός τινων καὶ Πρόνοια λέγεται· οἱ δὲ *Αἰγύπτιοι* πρὸς *ἥλιον* καὶ τοὺς τῶν ἐν οὐρανῷ ζῳδίων οἴκους τὸν στοχασμὸν 30 B ἁρμόζειν δυισχυρίζονται. καὶ *οἱ μὲν* καθ' ἑκάστην 20 ἡμέραν τοῦ *ἡλιακοῦ* μηνός, *οἱ δὲ* ὡσαύτως ἐφήμερον τὸν *σεληνιακὸν* μῆνα διαλαμβάνουσι. καὶ *οὗτοι* μὲν πρὸς τὰ ζῴδια τὸν *ἥλιον*, *ἐκεῖνοι* δὲ τὴν *σελήνην* ἀνιχνεύουσιν. ὥστε χρειῶδες πάντων ἀνὰ μέρος καὶ μὴ ὑφ' ἓν ἐπιμνησθῆναι, καὶ *πρῶτον* 25 τῶν *ἡλιακῶν* σημείων· δεῖ γὰρ ⟨τὸν⟩ ἥλιον κάλλει

2 αἱ ante ἐκ H. add. ‖ 3 νότου scripsi ex Homero pro νότον ‖ 4 κατὰ] καὶ *C* | verba sunt Homeri ν 111 „αἱ δ' αὖ πρὸς νότου εἰσὶ θεώτεραι." ‖ 11 ποικίλης *P*, ceteri ποικίλως ‖ 13 μὲν δὴ om. *CP* ‖ 14 τὴν σελήνην καὶ] om. *C* | αὐτοῖς *P* | τὸν] τῶν *C* ‖ 15 σκοπῶν *C* ‖ 24 πάντων om. *P* ‖ 25 μὴ add. *P*

καὶ δυνάμει τὴν πᾶσαν διακόσμησιν ἀναβεβηκότα καὶ τοσούτῳ κρείττονα τῶν αἰσθητῶν, ὅσῳ τἀγαθὸν τῶν νοητῶν, κἀνταῦθα τὰ πρῶτα λαβεῖν.

TONITRVALE
5 EX AEGYPTIORVM DOCTRINA
SECVNDVM MENSES SOLARES DISCRIPTVM

23. Ὁ ἥλιος <ἐν> αἰγοκέρωτι μηνὶ Ἰανουαρίῳ. C τοῦ ἡλίου πρὸς αἰγόκερων παριόντος, εἰ βροντὴν ἐπιρραγῆναι συμβαίη, ἀχλὺς ἔσται παχεῖα καὶ καπνώδης, 10 ὡς ἀώρους τοὺς καρποὺς ἐναπομαρανθῆναι τοῖς φυτοῖς, καὶ ἄποιος ὁ οἶνος. εἰ δὲ μέχρι τῆς ἐπιτολῆς τοῦ κυνὸς ἡ ἀχλὺς ἐπιμένοι, ἐπίνοσος ὁ ἐνιαυτὸς ἔσται D καὶ σίτου ἐνδεής. διαφερόντως δὲ ταῦτα συμβήσεται ἐπί τε Μακεδονίας, Θρᾴκης, Ἰλλυρίδος καὶ τῆς ἄνω 15 Ἰνδικῆς, Ἀριανῆς τε καὶ Γεδρωσίας· καὶ γὰρ αὗται ὑπὸ τὸν αἰγόκερων. ταραχαὶ δὲ καὶ φόβοι τοῖς θήλεσι τῶν ζῴων, λογικῶν τε καὶ ἀλόγων, ἐπιγενήσονται, 92 A ὅτι θῆλυ ζῴδιον ὁ αἰγόκερως.

Ὁ ἥλιος <ἐν> ὑδροχόῳ μηνὶ Φεβρουαρίῳ. τοῦ 20 ἡλίου ἐπὶ ὑδροχόον ἰόντος εἰ βροντὴν γενέσθαι συμβαίη, Σαυρομάταις, Ὀξιανοῖς, Σογδιανοῖς, Ἀραβίᾳ μικρᾷ, Ἀζανίᾳ μέσῃ, Αἰθιοπίᾳ (ὑδροχόῳ δὲ ἀνάκειντοι αὗται

2 τοσοῦτον P | ὅσον P ‖ 3 κἀνταῦθα πρῶτον PV ‖ 4—6 auctor huius tonitrualis fuit fortasse Vicellius: vide proleg. ‖ ante 7 add. rubr. P: βροντοσκοπία ἐκ τῶν φωτίον (corrige φοντηίου) τοῦ ῥωμαίου κατ' ἑρμηνείαν πρὸς λέξιν ἰωάννου λαυρεντίου λυδοῦ ‖ 7 ὁ ἥλιος—Ἰανουαρίῳ] μηνὶ ἰανουαρίω περὶ βροντῶν ἐκ τοῦ ἡλίου P | ἐν hic et infra semper ante nomina signorum zodiaci addidi ‖ 8 τοῦ ante ἡλίου add. rubr. P | πρὸς] τὸν P ‖ 12 ἐπιμένει P ‖ 14 ante Θρᾴκης add. καὶ P ‖ 15 ἀδριανῆς P | γεδρουσίας P ‖ 19 τοῦ add. P ‖ 20 βροχὴν C ‖ 21 σουγδιανοῖς P | ἀραβία μικρά, ἀζανία, μέση αἰθιοπία P

αἱ χῶραι) ἀφθονίαν μὲν τοῦ σίτου διασημαίνει, πτῶ-
B σιν δὲ ἀνδρῶν ἐνδόξων ἐν ταῖς εἰρημέναις διαφαινο-
μένων χώραις, καὶ οὐκ ἀνδρῶν μόνον ἀλλὰ καὶ τῶν 302
ἐν τοῖς ἄλλοις ζῴοις ἀρσενικῶν, ὅτι ἄρρεν ζῴδιον ὁ
ὑδροχόος. 5

Ὁ ἥλιος ⟨ἐν⟩ ἰχθύσι μηνὶ Μαρτίῳ. τοῦ ἡλίου
⟨ἐν⟩ ἰχθύσι γενομένου εἰ τυχὸν ἐν ἡμέρᾳ βροντὴ
γένηται, ὁ ἄμητος ἔσται γεννημάτων ἀφθονώτατος, οἵ
τε ὑγροὶ καρποὶ οὐχ ἥκιστα ἐπιδώσουσιν ἐπί τε τῆς
καθ' ἡμᾶς Λυδίας, Κιλικίας, Παμφυλίας, Φαζανίας, 10
C Νασαμωνίτιδος καὶ Γαραμαντικῆς (καὶ γὰρ ὑπὸ τοῖς
ἰχθύσιν αἱ χῶραι). τὰ δὲ θήλεα τῶν ζῴων ἀπὸ
λογικῶν ἕως ἀλόγων σκυθρωπάσει, ὅτι θῆλυ ζῴδιον
οἱ ἰχθύες.

24. Ὁ ἥλιος ⟨ἐν⟩ κριῷ μηνὶ Ἀπριλίῳ. τοῦ 15
ἡλίου ἐπὶ τὸν κριὸν ἀνιόντος εἰ βροντὴν γενέσθαι
συμβαίη ἀλλὰ μὴ βροχὴν ἐπακολουθῆσαι, ἐπὶ Βρεταν-
D νίας, Γαλατίας, Γερμανίας, Βασταρνῶν, Συρίας κοίλης,
Ἰουδαίας, Ἰδουμαίας πτῶσις ἀνθρώπων ἔσται θόρυβοί
τε κατὰ πόλεις καὶ πνιγμοὶ καὶ αὐχμοὶ καὶ τῶν φυτῶν 20
ἀκαρπία, καὶ διαφερόντως τῶν ἀρρενωπῶν, ὅτι ἄρρεν
ζῴδιον ὁ κριός.

Ὁ ἥλιος ⟨ἐν⟩ ταύρῳ μηνὶ Μαΐῳ. κατὰ τοῦτο
94A τοῦ καιροῦ εἰ βροντὴν ἐπιτροχάσαι συμβαίη, ἔνδειαν

6 post Μαρτίῳ add. *P* rubr. ἔτι καὶ φεβρ. | τοῦ ante ἡλίου add. rubr. *P* ‖ 7 τύχοι *P* | βροντὴν γενέσθαι *P* ‖ 8 ὁ om. *P* ‖ 12 ita interpunxi et τὰ δὲ ex *P* scripsi; ceteri post ἐπιδώσουσιν (9) interpungunt et τὰ δὲ omitt. | θηλυκὰ *P* ‖ 13 σκυθρωπάζει *C* ‖ 15 Ἀπριλίῳ] μαρτί. καὶ ἀπριλλ. rubr. *P* | τοῦ ante ἡλίου add. rubr. *P* ‖ 18 Βαστάρνων: corr. H. p. 325 | κοίλης Συρίας *P* ‖ 20 καὶ ante τῶν om. *P* ‖ 22 ζῴδιον ἄρρεν *P* ‖ 23 Μαΐῳ] ἀπριλλ. καὶ μάιος rubr. *P* | κατὰ τοῦτο τοῦ καιροῦ] τοῦ (rubr.) ἡλίου ταύρῳ ὄντος *P* ‖ 24 ἐπιτροχάσαι] γενέσθαι *P*

τῶν ἐπιτηδείων προσδοκητέον, οὐχ ἥκιστα δὲ τὰ ἀκρόδρυα ἀποτεύξεται· καὶ γὰρ ἁπαλὰ καὶ ὡς πρὸς τοὺς ἄλλους καρποὺς μαλακώτατα. οὐδὲν δὲ ἧττον καὶ πόλεις αἱ πρὸς τῇ θαλάττῃ πολεμίοις παραστήσονται,
5 ἐπί τε τῶν Κυκλάδων καὶ τῶν παραλίων τῆς μικρᾶς Ἀσίας (καὶ γὰρ Ἀφροδίτης ἡ θάλαττα), Κύπρου, Μη-
303 δίας τε καὶ Περσίδος αὐτῆς, ἐπεὶ καὶ μαλακώτερα τὰ B ἔθνη, ὅτι θῆλυ ζῴδιον ὁ ταῦρος. ταύτῃ γὰρ καὶ ταῦρος Εὐρώπης ἐρασθῆναι λέγεται, ὅτι τοῦ ἀνατολικοῦ
10 κέντρου ⟨ὑπὸ⟩ κριῷ, ἔστι δ' ὅπου καὶ πρὸ αὐτοῦ, νέους ὁρῶντος καρποὺς μόλις Εὐρώπη ὑπὸ τῷ ταύρῳ βλέπει.

Μηνὶ Ἰουνίῳ. εἰ ἐν διδύμοις τοῦ ἡλίου ὄντος βροντὴν γενέσθαι συμβαίη, ὑγρῶν μὲν καὶ ξηρῶν καρ-
15 πῶν ἀφθονίαν ἐλπιστέον, ἀνδρὸς δὲ δυνατοῦ ἀθρόαν ἀπόπτωσιν. Ὑρκανία δὲ καὶ Ἀρμενίαι δύο, Ἀμαδιανή, Μαρμαρική, Αἴγυπτος ἡ κάτω παρὰ τὰς ἄλλας χώρας C ἀτυχήσουσι, καὶ διαφερόντως περὶ τοὺς ἄνδρας· καὶ γὰρ ἀρσενικὸν ζῴδιον οἱ δίδυμοι καὶ ἀνθρωποειδὲς
20 καὶ φίλιον.

25. Μηνὶ Ἰουλίῳ. ὅτι μὲν ὁ μὴν Κουϊντίλιος οὗτος τὸ πρὶν ὠνομάζετο, πρὸς δὲ τιμῆς Ἰουλίου Καίσαρος εἰς ταύτην μετετέθη τὴν προσηγορίαν, εἰς πλάτος ἡμῖν εἴρηται ἐν τῇ περὶ Μηνῶν πραγματείᾳ. D
25 εἰ τοίνυν ⟨ἐν⟩ καρκίνῳ ἡλίου γενομένου βροντὴν

2 ἐπιτεύξεται PR ‖ 6 θάλασσα, κύπρου τε, μηδίας καὶ P ‖ 10 ὑπὸ addidi ‖ 11 ὁρῶν τοὺς P | τῷ om. P ‖ 12 βλέπει] ὁρᾷ PR ‖ 13 Ἰουνίῳ — βροντὴν] μάιος καὶ ἰουν. τοῦ (hucusque rubr.) ἡλίου διδύμοις ὄντος εἰ βροντὴν P | τοῦ om. C ‖ 16 ὑρκανίαι P ‖ 17 ἄλλας] ἄκρας PV ‖ 21. 22 Ἰουλίῳ — οὗτος] ἰουν. καὶ ἰουλ. ὁ (hucusque rubr.) μὴν οὗτος κυντίλιος P ‖ 23. 24 εἰς πλάτος — πραγματείᾳ] om. P ‖ 24 legitur ap. Lyd. de mens. III 63 ‖ 25 ἡλίου τοίνυν γινομένου ἐν καρκίνῳ εἰ βροντὴν P

γενέσθαι συμβαίη, οἴνου μὲν δαψίλεια, τοῦ δὲ ἀέρος ξηρότης ἔσται. νόσοι τε φρικώδεις καὶ πυρεκτικοὶ καὶ κινδύνων ἐγγὺς ἐπί τε Βιθυνίας καὶ Φρυγίας ὅλης, 96 A Κολχικῆς, Νουμιδίας, Καρχηδόνος καὶ Ἀφρικῆς ταῖς θηλείαις διαφερόντως προσπεσοῦνται. φθαρήσεται δὲ 5 καὶ τὰ ἐνάλια, τὰ ὀστρακώδη μάλιστα· καὶ γὰρ θῆλυ ζῴδιον καὶ σελήνης οἶκος ὁ καρκίνος.

Μηνὶ Αὐγούστῳ. Σεξτίλιος τὸ πάλαι καὶ οὗτος 304 ὁ μήν· Αὔγουστος δὲ τῷ ἴσῳ τρόπῳ πρὸς μνήμης Αὐγούστου Καίσαρος μετεκλήθη, ὡς ἡ ἱστορία λέγει. 10 ἐφ᾽ οὗ ἡ βροντὴ γενομένη τοῦ ἡλίου ὄντος ἐν λέοντι θόρυβον ἐξαίσιον τοῖς πράγμασι καὶ φθορὰν τοῖς B καρποῖς ἐκ θηρίων ἀπειλεῖ ἐπί τε Ἰταλίας, Γαλλιῶν, Σικελίας, Φοινίκης, Ὀρχηνίας ἤτοι Ἀντορχηνίας. οὐχ ἥκιστα δὲ ταραχθήσονται οἱ ἄνδρες τῶν ἐθνῶν τού- 15 των· καὶ γὰρ ἄρρεν ζῴδιον ὁ λέων.

Μηνὶ Σεπτεμβρίῳ. τοῦ ἡλίου ⟨ἐν⟩ παρθένῳ γενομένου εἰ βροντὴν γενέσθαι συμβαίη, φθορὰν ζῴων εὐλαβητέον, ἁρπαγάς τε πολεμίων καὶ ἀνδραποδισμοὺς ἀνήβων, καὶ διαφερόντως τῶν παρθένων, ἐπειδὴ θῆλυ 20 ζῴδιον ἡ | παρθένος. ἐπὶ Ἑλλάδος δὲ ταῦτα συμβή-

3 ἐπί τε] ἐπὶ τῆς *P* ‖ 4 Καρχηδόνος scripsi pro Καρτάπων coll. Lyd. p. 258 *B* et Ptolem. tetrab. II 2, Carteiam vel Cartennam dubitanter proposuit H. ‖ 5 φθαρήσονται libri: corr. Hercher ‖ 6 τὰ ante ὀστρακώδη om. *C* | θηλυκὸν *P* ‖ 7 ὁ om. *P* ‖ 8 ἰουλ. καὶ αὔγουστ. (rubr.) *P* | ante Σεξτίλιος transponit καὶ οὗτος ὁ μὴν *P* | πάλαι] πρὶν ὠνομάζετο *P* ‖ 9 Αὔγουστος δὲ] πρὸς δὲ μνήμης Αὐγύστου Καίσαρος *P* | πρὸς — Καίσαρος] om. *P* ‖ 10 ὡς — λέγει] αὔγουστος *P* ‖ 11 ἡ — γενομένη] εἰ βροντὴ γένοιτο *P* | τοῦ ἡλίου ὄντος ἐν λέοντι] ex *P* addidi ‖ 13 θηρίων] τῶν θηρείων *P* ‖ 14 ἤτοι ἀντορχηνίας om. *P* ‖ 17 αὔγουστ. καὶ σεπτεμβρ. rubr. *P* | τοῦ ante ἡλίου add. rubr. *P* ‖ 18 βροντὴ *P* ‖ 20 τῶν om. *P* | ἐπεὶ καὶ *P* ‖ 21 ἐπὶ Ἑλλάδος — συμβήσεται] sic scripsi ex *P*; οὐκ ἀπ quattuor

σεται, Κρήτης, Βαβυλωνίας, Μεσοποταμίας καὶ Κοίλης C
Συρίας.

26. ⟨Ὁ⟩ ἥλιος ⟨ἐν⟩ ζυγῷ μηνὶ Ὀκτωβρίῳ.
τοῦ ἡλίου ἐν ζυγῷ γενομένου ἐὰν βροντὴ γένηται,
5 θορύβους καὶ στάσεις σφαλερὰς μετὰ δυσμὰς ἡλίου
ἀναφθῆναι προλέγει, καὶ τῇ ἀμπέλῳ τὴν ἐκ θηρίων
βλάβην ἀπειλεῖ ἐπί τε Βακτρίας, Κασπίας, Σηρικῆς, D
Θηβῶν τῶν ἄνω, Ὀάσεως, Τρωγλοδυτικῆς. ἡ δὲ ἐκ
τοῦ θορύβου βλάβη οὐ γυναικῶν, ἀνδρῶν δὲ μᾶλλον
10 καθάψεται, ἐπεὶ καὶ ἄρρεν τὸ ζῴδιον.

⟨Ὁ⟩ ἥλιος ⟨ἐν⟩ σκορπίῳ μηνὶ Νοεμβρίῳ. εἰ
κατὰ τοῦτο τοῦ καιροῦ βροντὴν γενέσθαι συμβαίη,
305 ἀνὴρ μὲν δυνατὸς ἐκ τοῦ πολιτεύματος πεσεῖται, ὁ 98 A
δὲ σῖτος ἄφθονος ἔσται ἐπί τε Κομμαγηνῆς Συρίας,
15 Κασπίας, Μαυριτανίας καὶ Γαιτουλίας. τὸ δὲ θῆλυ
γένος τῶν ζῴων κακωθήσεται, καὶ διαφερόντως ἐπὶ
τῶν χωρῶν τούτων, ὅτι θῆλυ ζῴδιον ὁ σκορπίος.

Μηνὶ Δεκεμβρίῳ. τοῦ ἡλίου ἐπὶ τοξότην ἰόν-
τος εἰ βροντὴν ἐπιρραγῆναι συμβαίη, τοῖς Περσῶν
20 βασιλεῦσι κίνδυνος ἐπιπεσεῖται τῷ τε ἔθνει παντί. ἡ
δὲ Κελτικὴ πρὸς Ἱσπανίας καὶ Τυρρηνία καὶ ἡ εὐ- B

vocabula deleta ταῦτα συμβήσεται, ἀλλ' ἐπὶ Ἑλλάδος *C*. haec usque ad finem capitis teste Hasio om. *RV*, quamquam ipse affert scripturam codicis *R* ad v. 1 ‖ **1** βαβυλῶνος *P* | κοίλης] ὅλης *PR*, malim ὅλης Ἀσσυρίας. ‖ **3** et **11** ὁ ante ἥλιος addidi coll. p. 57, 7. 19; p. 58, 6. 15. 23 | σεπτρ. καὶ ὀκτρ. rubr. *P* | **4** τοῦ ἡλίου ὄντος ἐν ζυγῷ *P*, ἡλίου ζυγῷ γενομένου cet. ‖ **7** Κασίας *P*, fortasse recte ‖ **8** θάσεως *CPR* ‖ **11** σεπτρ. καὶ ὀκτρ. rubr. *P* ‖ **11. 12** εἰ κατὰ τοῦτο τοῦ καιροῦ] τοῦ ἡλίου ὄντος ἐν σκορπίῳ *P* ‖ **14** ante Συρίας delevi καὶ cum *P* cf. p. 258[B]; ceteri habent ‖ **15** καὶ ante Γαιτουλίας om. *P* ‖ **16** καὶ διαφερόντως] διαφερόντως δὲ *P* ‖ **18** νοεμ. καὶ δεκεμ. rubr. *P* | τοῦ ante ἡλίου hab. solus *P* ‖ **19** βροντὴ (om. ἐπιρραγῆναι) *P* ‖ **20** ἐπιπεσεῖται] ἐπισεῖται *P* | παντί] τί παν *P* ‖ **21** τυρρηνίας *P* | τῇ εὐδαίμονι Ἀραβίᾳ *C*

δαίμων Ἀραβία σφόδρα ταραχθήσεται, καὶ διαφερόντως τοῖς ὅπλοις, ἐπεὶ καὶ ἄρρην ὁ τοξότης.

---

100 # ΕΦΗΜΕΡΟΣ ΒΡΟΝΤΟΣΚΟΠΙΑ 306

ΤΟΠΙΚΗ ΠΡΟΣ ΤΗΝ ΣΕΛΗΝΗΝ

ΚΑΤΑ ΤΟΝ ΡΩΜΑΙΟΝ ΦΙΓΟΥΛΟΝ 5

ΕΚ ΤΩΝ ΤΑΓΗΤΟΣ

ΚΑΘ' ΕΡΜΗΝΕΙΑΝ ΠΡΟΣ ΛΕΞΙΝ

A 27. *Εἰ ἐπὶ πάσαις ⟨ταῖς⟩ τῆς διοσημείας παραδόσεσι τὴν σελήνην φαίνονται λαβόντες οἱ ἀρχαῖοι (ὑπ' αὐτὴν γὰρ τά τε βροντῶν τά τε κεραυνῶν ἐκδέ-* 10 *δοται σημεῖα), καλῶς ἄν τις ἄρα καὶ τὸν σελήνης οἶκον ἐπιλέξαιτο, ὥστε ἀπὸ τοῦ καρκίνου καὶ ἐνταῦθα τὴν ἐφήμερον ἀπὸ τῆς σεληνιακῆς νουμηνίας κατὰ τοὺς σεληνιακοὺς μῆνας ληψόμεθα τῶν βροντῶν ἐπίσκεψιν·* B *ἐξ ἧς τὰς τοπικάς, ἐφ' ὧν ῥήγνυνται χωρίων αἱ βρον-* 15 *ταί, παρατηρήσεις οἱ Θοῦσκοι παρέδοσαν.*

1 *καὶ διαφερόντως*] *οἱ* *P* ‖ in *P* sequitur Fonteii tonitruale c. 39—41 (p. 156[A] usque ad p. 163[D]), postea demum Nigidii tonitruale.

Nigidii tonitruale exhibent praeter *C* etiam *P* f. 186[r] et *V* f. 284[v] (cuius tamen scripturas afferre non attinet); librum olim edidit Rutgers var. lection. p. 247—260 ex *P* (vid. proleg.); iteravit ex mea proecdosi Swoboda, Nigidii reliquiae p. 93 sq. ‖ 8 *πάσης* *P* | *ταῖς* add. Hercher ‖ **11** *τὴν σελήνην* *P* ‖ **12** *ἐπιλέξατο* *P* ‖ **13** post *νουμηνίας* Hase in comm. de Lydi scriptis etc. p. LI *διακοσμήσαντες* addi vult ‖ **14** *λειψόμεθα* *P* ‖ **15** post *τοπικὰς* add. *δὴ* *P*

307 ## ΜΗΝΙ ΙΟΥΝΙΩ

Σελ. α΄. ἐὰν βροντήσῃ, τῶν καρπῶν εὐφορία ἔσται, ἐξηρημένων κριθῶν· νοσήματα δὲ ἐπισφαλῆ τοῖς σώμασιν ἐπισκήψει.

5 *β΄. ἐὰν βροντήσῃ, ταῖς μὲν ὠδινούσαις ἀπαλλαγὴ μᾶλλον ῥαδία, τοῖς δὲ θρέμμασι φθορά, ἰχθύων γε* C *μὴν ἀφθονία ἔσται.*

γ΄. ἐὰν βροντήσῃ, καύσων ἔσται ξηρότατος, ὥστε 102A *μὴ τοὺς ξηροὺς μόνους ἀλλὰ καὶ τοὺς ὑγροὺς καρ-*
10 *ποὺς διαφρυγέντας ἀποκαυθῆναι.*

δ΄. ἐὰν βροντήσῃ, νεφελώδης καὶ ὑετώδης ὁ ἀὴρ ἔσται, ὡς ἐκ σηπτικῆς ὑγρότητος φθαρῆναι τοὺς καρπούς.

ε΄. ἐὰν βροντήσῃ, ἀπαίσιον τοῖς ἀγροῖς· οἱ δὲ χω-
15 *ρίοις ἢ πολίχναις ἐφεστῶτες ταραχθήσονται.* B

ϛ΄. ἐὰν βροντήσῃ, ἀκμάσασι τοῖς καρποῖς ἐντεχθήσεταί τι θηρίον τὸ βλάπτον αὐτούς.

ζ΄. ἐὰν βροντήσῃ, νοσήματα μὲν ἐνσκήψει, ἀλλ᾽ οὐ πολλοὶ ἐξ αὐτῶν τεθνήξονται· καὶ οἱ μὲν ξηροὶ καρ-
20 *ποὶ ἐπιτεύξονται, οἱ δὲ ὑγροὶ ξηρανθήσονται.*

η΄. ἐὰν βροντήσῃ, ἐπομβρίαν καὶ φθορὰν σίτου C *δηλοῖ.*

θ΄. ἐὰν βροντήσῃ, φθορὰ τοῖς θρέμμασιν ἔσται ἐξ ἐπιδρομῆς λύκων.

2 *σελ.* om. *P*; in Lydi fonte fuit probabiliter *σελήνη ἐν α΄* et sic semper et fortasse idem Lydus scripserat; sed cum ea quae in fonte suo repperit non satis intellexerit, a singulorum correctione abstinere satius est: cf. Swoboda p. 35 || **5** *βροντῇ P* | *ὠδυνούσαις P* || 8 *ἐὰν βροντήσῃ*] sic *P*, *βροντῆς γενομένης C* || **11** *ἐὰν βροντήσῃ*] om. *P* et ita semper usque ad finem mensis (praeter p. 64, 5) || **16** *ἀκμάσασαι P* || **18** *μὲν* om. *P* || **23** *φθορὰ*] *θάνατος P*

ι'. ἐὰν βροντήσῃ, θάνατος μὲν ἔσται συχνός, εὐθηνία δὲ ὅμως.

ια'. ἐὰν βροντήσῃ, καύματα μὲν ἀβλαβῆ, τὰ δὲ πολιτικὰ ἐν εὐφροσύνῃ ἔσται. 308

ιβ'. ἐὰν βροντήσῃ, ὁμοίως ὡς ἐπὶ τῇ πρὸ ταύτης. 5

D ιγ'. ἐὰν βροντήσῃ, δυνάστου πτῶσιν ἀπειλεῖ.

ιδ'. ἐὰν βροντήσῃ, καυσῶδες μὲν τὸ περιέχον ἔσται, 104 A εὐφορία δὲ τῶν καρπῶν καὶ εὔροια τῶν ποταμίων οὐχ ἥκιστα ἰχθύων. τὰ σώματά γε μὴν ἐξασθενήσει.

ιε'. ἐὰν βροντήσῃ, τὰ μὲν πτηνὰ λυμανθήσεται τῷ θέρει, οἱ δὲ ἰχθύες φθαρήσονται. 10

ιϛ'. ἐὰν βροντήσῃ, οὐκ ἐλάττωσιν μόνον τῶν ἐπι- B τηδείων ἀλλὰ καὶ πόλεμον ἀπειλεῖ, ἀνὴρ δέ τις εὐτυχὴς ἀφανισθήσεται.

ιζ'. ἐὰν βροντήσῃ, καύματα ἔσται καὶ μυῶν καὶ ἀσφαλάκων καὶ ἀκρίδων φορά· εὐθηνίαν δὲ ὁμῶς καὶ φόνους τῷ δήμῳ φέρει. 15

ιη'. ἐὰν βροντήσῃ, φθορὰν τῶν καρπῶν ἀπειλεῖ.

C ιθ'. ἐὰν βροντήσῃ, τὰ λυμαινόμενα τοῖς καρποῖς θηρία φθαρήσεται. 20

κ'. ἐὰν βροντήσῃ, διχόνοιαν ἀπειλεῖ τῷ δήμῳ.

3 τοῖς δὲ πολιτικοῖς *P* ‖ 5 hic scribit ἐὰν βροντήσῃ *P* | τῇ πρὸ ταύτης] τῆς ἑνδεκάτης *P* ‖ 8 εὔροια τῶν ποταμῶν· οὐχ *P*, quod non displicuit Hasio, ita ut postea lacunam statueret; εὔροια ⟨τῶν ποταμῶν καὶ ἀφθονία⟩ τῶν ποταμίων coni. Hertz, de Nigid. Figul. p. 33 adn. 3 ‖ **13. 14** εὐτυχεῖς *P* ‖ **14** ἀφανισθήσεται coni. Hercher, ἀφανεῖται *C*, ἀναφανεῖται *P* ‖ **15** καὶ post ἔσται om. *P* | μυῶν corr. H. pro μυιῶν coll. p. 120 *A*, 126 *C*, 140 *A*, 146 *A*, 150 *D* aliis ‖ **16** φορά] sic *CP*; id quod Rutgers dedit, φθορά, recepit H. | εὐθηνία *P* | ὁμῶς καὶ corr. pro ὅμως καὶ H. (coll. ἅμα καὶ p. 68, 9 et καὶ ὁμοῦ p. 69, 8 ‖ **17** φόνους in suspitionem vocat Hercher ‖ **18** φθορὰ *P* ‖ **19** τοὺς καρποὺς *C*

κα'. ἐὰν βροντήσῃ, ἐλάττωσιν μὲν οἴνου, ἐπίδοσιν δὲ τῶν ἄλλων καρπῶν δηλοῖ καὶ ἀφθονίαν ἰχθύων.

309 κβ'. ἐὰν βροντήσῃ, ἐπίφθορον ἔσται τὸ καῦμα.

κγ'. ἐὰν βροντήσῃ, εὐφροσύνην καὶ κακῶν ἀπαλ-
5 λαγὴν καὶ νόσων ἀφανισμὸν δηλοῖ.

κδ'. ἐὰν βροντήσῃ, εὐθηνίαν δηλοῖ. D

κε'. ἐὰν βροντήσῃ, πόλεμοι καὶ μυρία ἔσονται κακά.

κς'. ἐὰν βροντήσῃ, ὁ χειμὼν τοῖς καρποῖς ἐπιβλα- 106 A
βὴς ἔσται.

10 κζ'. ἐὰν βροντήσῃ, κίνδυνος στρατιωτικὸς τοῖς κρατοῦσιν ἔσται.

κη'. ἐὰν βροντήσῃ, εὐετηρία ἔσται τῶν καρπῶν.

κθ'. ἐὰν βροντήσῃ, τὰ τῆς βασιλίδος πόλεως ἔσται κρείττονα.

15 λ'. ἐὰν βροντήσῃ, πρὸς βραχὺ θάνατος ἔσται συχνός. B

ΙΟΥΛΙΟΣ

28. α'. Ἐπὶ τῆς σεληνιακῆς νουμηνίας ἐὰν βροντήσῃ, εὐθηνία μὲν ἔσται, τῶν δὲ θρεμμάτων πτῶσις.

β'. ἐὰν βροντήσῃ, καλὸν τῷ φθινοπώρῳ.

20 γ'. ἐὰν βροντήσῃ, χειμῶνα βαρὺν σημαίνει.

δ'. ἐὰν βροντήσῃ, ἀέριοι ἔσονται ταραχαί, ὡς ἐξ C
αὐτῶν σπάνιν γενέσθαι.

ε'. ἐὰν βροντήσῃ, εὐθηνία μὲν σίτου, ἄρχοντος δὲ ἀγαθοῦ πτῶσις ἔσται.

4 καὶ ante κακῶν om. *P* ‖ 5 καὶ ante νόσων om. *P* ‖ 8 ὁ om. *P* ‖ 10 στρατικὸς *C* ‖ 12 εὐετηρία] sic etiam *P* | τῶν ante καρπῶν om. *C* ‖ 16 μηνὶ Ἰουλίῳ rubre *P* ‖ 17 ἐὰν βροντήσῃ (non βροντῇ) habet *P*, sed omittit in reliquis mensis diebus ‖ 18 εὐθηνία] ἐλευθερία *P* ‖ 21 ὡς — γενέσθαι (22)] om. *P* ‖ 22 an post σπάνιν addendum σίτου?

ϛʹ. ἐὰν βροντήσῃ, νόσους θανατηφόρους ταῖς δουλικαῖς τύχαις ἀπειλεῖ.

ζʹ. ἐὰν βροντήσῃ, κατομβρία ἔσται βλαβερὰ τοῖς σπορίμοις. 310

ηʹ. ἐὰν βροντήσῃ, εἰρήνην μὲν τοῖς κοινοῖς, ὄλεθρον 5
D δὲ τοῖς βοσκήμασι καὶ βῆχα ξηρὸν ἐνσκῆψαι δηλοῖ.

θʹ. ἐὰν βροντήσῃ, ἐποψίαν θεῶν καὶ ἀγαθῶν πολλῶν πρόσοδον δηλοῖ.

108 A ιʹ. ἐὰν βροντήσῃ, σωτηριώδη ἔσται τὰ ποτάμια ὕδατα. 10

ιαʹ. ἐὰν βροντήσῃ, καῦμα σημαίνει καὶ ὄμβρον βίαιον καὶ σπάνιν σίτου.

ιβʹ. ἐὰν βροντήσῃ, ψῦχος τῷ θέρει ἔσται ἀδόκητον, δι' οὗ φθαρήσεται τὰ ἐπιτήδεια.

B ιγʹ. ἐὰν βροντήσῃ, ἑρπετὰ φανεῖται βλαβερώτατα. 15

ιδʹ. ἐὰν βροντήσῃ, εἰς ἕνα τὴν πάντων δύναμιν ἐλθεῖν φράζει· οὗτος δὲ ἔσται τοῖς πράγμασιν ἀδικώτατος.

ιεʹ. ἐὰν βροντήσῃ, διχόνοια ἔσται τοῦ δήμου καὶ τοῦ σίτου ἔνδεια. 20

ιϛʹ. ἐὰν βροντήσῃ, πόλεμον ὁ τῆς ἀνατολῆς βασιλεὺς ἐκδεχέσθω καὶ νόσον ἀπὸ ξηροῦ καύματος.

C ιζʹ. ἐὰν βροντήσῃ, διαδοχὴν μεγάλου ἄρχοντος δηλοῖ.

ιηʹ. ἐὰν βροντήσῃ, ἔνδειαν καρπῶν ἐξ ἐπομβρίας ἀπειλεῖ. 25

2 ψυχαῖς coni. perperam Meursius apud Rutgersium: cf. p. 44, 10 ‖ 7 θείων *P* | fuit fort. ἐποψίαν θεῶν πολλῶν καὶ ἀγαθῶν πρόσοδον; de θέαις cf. p. 43, 10 ‖ 8 πρόσοδον corr. Hercher pro πρόοδον ‖ 11 καὶ ante ὄμβρον om. *P* ‖ 12 καὶ ante σπάνιν om. *P* ‖ 14 δι' οὗ] καὶ οὐ *P* ‖ 16 τὴν] τῶν *P* ‖ 19 καὶ om. *P* ‖ 22 ἐκδέχεσθαι *C* post locum laceratum in membrana; H. suspicatur intercidisse μέλλει et in commate sequenti verbum aliud ‖ 24 ἐπομβρίας etiam *P* ‖ 25 ἀπειλεῖ] δηλοῖ *C*

ιϑ'. ἐὰν βροντήσῃ, πόλεμον δηλοῖ καὶ ἀπώλειαν δυνατῶν· ἀφϑονία δὲ ἔσται τῶν ξηρῶν καρπῶν.

κ'. ἐὰν βροντήσῃ, αὐχμὸν νοσώδη ἀπειλεῖ.

311 κα'. ἐὰν βροντήσῃ, διχόνοια ἔσται τοῖς ὑπηκόοις, D
5 ἀλλ' οὐκ εἰς μακράν.

κβ'. ἐὰν βροντήσῃ, ἀγαϑὰ μὲν τοῖς κοινοῖς πράγμασι, νόσους δὲ τοῖς σώμασι περὶ τὴν κεφαλὴν σημαίνει.

κγ'. ἐὰν βροντήσῃ, ἡ διχόνοια τοῦ δήμου παυ- 110 A
10 ϑήσεται.

κδ'. ἐὰν βροντήσῃ, δυνατοῦ ἀνϑρώπου δηλοῖ δυνατὸν ἀτύχημα.

κε'. ἐὰν βροντήσῃ, τῇ νεολαίᾳ κάκωσις καὶ τοῖς καρποῖς μετ' αὐτῆς, νοσώδης δὲ ὁ καιρὸς ἔσται.

15 κϛ'. ἐὰν βροντήσῃ, ἀπὸ μεγάλης εὐϑηνίας ἔνδεια B ἔσται.

κζ'. ἐὰν βροντήσῃ, ἐκβρασμὸν τοῖς σώμασιν ἀπειλεῖ.

κη'. ἐὰν βροντήσῃ, ἔνδεια ὑδάτων καὶ ὄχλος ἑρπετῶν ἐπιβλαβῶν ἔσται.

20 κϑ'. ἐὰν βροντήσῃ, εὐετηρίαν δηλοῖ.

λ'. ἐὰν βροντήσῃ, οἱ ἄνϑρωποι ἐκ ποινηλασίας ἐπὶ τὰ χείριστα τῶν πταισμάτων ὀλισϑήσουσιν.

ΑΥΓΟΥΣΤΟΣ C

29. α'. Ἐὰν βροντήσῃ, καὶ τὰ τῆς πολιτείας ἠρέμα
25 πως καλλίονα καὶ εὐϑηνία ἔσται.

2 *καρπῶν* habet etiam *P* ‖ **5** *μακρὸν C* ‖ **9** *ἡ* om. *P* ‖ **11. 12** *δυνατὸν* corruptum: *δεινὸν* vel *ἀδόκητον* (cf. p. 66, 13; 78, 13) fuisse credo ‖ **13** *κάκωσις* scripsi (coll. p. 73, 16) pro *κακῶς* pariter atque p. 68, 20 ‖ **14** *ὁ* om. *P* ‖ **15** *ἔσται ἔνδεια P* ‖ **17** *ἐκβρασμὸς* idem valet atque *ἔκζεμα* ‖ **18** *καὶ* om. *P* ‖ **22** *ὀλισϑήσονται C* ‖ **23** *μηνὶ Αὐγούστῳ* rubr. *P* ‖ **24** *εἰ βροντήσῃ P*, qui in ceteris mensis diebus om. | *καὶ* ante *τὰ* om. *P*

β΄. ἐὰν βροντήσῃ, νόσους ἅμα καὶ ἔνδειαν τῶν ἐπιτηδείων ἀπειλεῖ.

γ΄. ἐὰν βροντήσῃ, δίκας καὶ λέσχας τῷ δήμῳ ἀπειλεῖ.

D δ΄. ἐὰν βροντήσῃ, ἔνδεια τροφῶν λογικοῖς ἅμα καὶ 312 ἀλόγοις ἔσται. 5

ε΄. ἐὰν βροντήσῃ, τὰς γυναῖκας συνετωτέρας δηλοῖ.

112A ς΄. ἐὰν βροντήσῃ, μέλιτος μὲν ἀφθονία ἔσται, ὕδατος δὲ καὶ τῶν λοιπῶν τροφίμων λεῖψις.

ζ΄. ἐὰν βροντήσῃ, ἀνέμους τραχεῖς καὶ νόσους ὁμοῦ σημαίνει. 10

η΄. ἐὰν βροντήσῃ, νόσον ἀκίνδυνον τοῖς τετραπόδοις ἀπειλεῖ.

θ΄. ἐὰν βροντήσῃ, ὑγίειαν μὲν ἀνθρώποις ὡς ἐκ τοῦ πλείονος ἐπαγγέλλεται.

B ι΄. ἐὰν βροντήσῃ, λύπας καὶ μοχθηρίας τῷ πλήθει 15 ἀπειλεῖ.

ια΄. ἐὰν βροντήσῃ, εὐετηρία μὲν ἔσται, πτῶσις δὲ ἑρπετῶν καὶ βλάβη τοῖς ἀνθρώποις.

ιβ΄. ἐὰν βροντήσῃ, χόρτου καὶ βαλάνου ἀφθονία ἔσται, τῇ δὲ πρώτῃ ἡλικίᾳ κάκωσις. 20

ιγ΄. ἐὰν βροντήσῃ, ὄλεθρος ἔσται τοῖς σώμασι λογικῶν τε καὶ ἀλόγων.

C ιδ΄. ἐὰν βροντήσῃ, πόλεμον μὲν τοῖς κοινοῖς, ἀφθονίαν δὲ τοῖς καρποῖς δηλοῖ.

ιε΄. ἐὰν βροντήσῃ, ἐπὶ τὸ χεῖρον τὰ πράγματα. 25

ις΄. ἐὰν βροντήσῃ, εἰρήνην βαθεῖαν ἐπαγγέλλεται.

3 λέσχας vix sanum: num λύμας? ‖ 4 post λογικοῖς add. τε *P* ‖ 6 post συνετωτέρας add. ἔσεσθαι *P* ‖ 8 τροφίμων om. *P* ‖ 9 ὁμοῦ om. *P* ‖ 13 μὲν om. *P* ‖ 14 ἐπαγγέλλει *C* ‖ 19 post χόρτου add. μὲν *P* ‖ 20 κάκωσις scripsi pro κακῶς ‖ 22 τε om. *P*

ιζ΄. ἐὰν βροντήσῃ, οἱ χείρους τῶν ἀνθρώπων στυγνάσουσιν.

ιη΄. ἐὰν βροντήσῃ, πόλεμον ἐμφύλιον ἀπειλεῖ.

ιθ΄. ἐὰν βροντήσῃ, φόνους αἱ γυναῖκες καὶ τὸ δου- D
5 λικὸν τολμήσει.

313 κ΄. ἐὰν βροντήσῃ, ὄλεθρον βοῶν καὶ ταραχὰς τοῖς πράγμασιν ἀπειλεῖ.

κα΄. ἐὰν βροντήσῃ, εὐθηνίαν ἅμα καὶ διχόνοιαν 114 A τῷ δήμῳ δηλοῖ.

10 κβ΄. ἐὰν βροντήσῃ, καλὰ μετρίως τὰ πράγματα ἀνὰ πάντα τὸν ἐνιαυτόν.

κγ΄. ἐὰν βροντήσῃ, κεραυνὸν πεσεῖσθαι δηλοῖ καὶ φόνους ἀπειλεῖ.

κδ΄. ἐὰν βροντήσῃ, ἀπώλειαν εὐγενῶν νέων ἀπειλεῖ.

15 κε΄. ἐὰν βροντήσῃ, χειμῶνα καὶ σπάνιν ὀπωρῶν B ἔσεσθαι προλέγει.

κϛ΄. ἐὰν βροντήσῃ, πόλεμον σημαίνει.

κζ΄. ἐὰν βροντήσῃ, πολέμους ἅμα καὶ δόλους ἀπειλεῖ.

κη΄. ἐὰν βροντήσῃ, εὐθηνίαν μὲν τῶν καρπῶν,
20 φθορὰν δὲ τῶν βοῶν σημαίνει.

κθ΄. ἐὰν βροντήσῃ, οὐδεμίαν ἐναλλαγὴν σημαίνει.

λ΄. ἐὰν βροντήσῃ, νόσους τῇ πόλει, ἐφ᾽ ἧς ῥαγήσεται, ἀπειλεῖ. C

ΣΕΠΤΕΜΒΡΙΟΣ

25 30. α΄. Ἐὰν βροντήσῃ, εὐετηρίαν ἅμα καὶ εὐφροσύνην δηλοῖ.

1 οἱ] εἰ *P* ‖ **1. 2** στυγνάζουσιν *P* ‖ **9** δηλοῖ scripsi pro ἀπειλεῖ ‖ **12** κεραυνοὺς *P* ‖ **12. 13** καὶ φόνους] φόνους δὲ *C* ‖ **15** καὶ om. *P* ‖ **16** προλέγει] δηλοῖ *P* ‖ **22** νόσους τῇ ἐφ οἷς *P* ‖ **24** μηνὶ σεπτεμβρίῳ rubr. *P* ‖ **25** ἐὰν βροντήσῃ hic habet etiam *P*, qui in ceteris mensis diebus omitt.

β'. ἐὰν βροντήσῃ, διχόνοια τῷ δήμῳ ἔσται.

D γ'. ἐὰν βροντήσῃ, κατομβρίαν καὶ πόλεμον δηλοῖ.

δ'. ἐὰν βροντήσῃ, δυνατοῦ πτῶσιν καὶ πολέμου παρασκευὴν δηλοῖ.

116 A ε'. ἐὰν βροντήσῃ, κριθῆς μὲν ἀφθονίαν, σίτου δὲ ἐλάττωσιν δηλοῖ. 314 6

ς'. ἐὰν βροντήσῃ, δύναμις ἔσται ταῖς γυναιξὶ κρείττων ἢ κατ' αὐτάς.

ζ'. ἐὰν βροντήσῃ, νόσον καὶ πτῶσιν τῷ δουλικῷ ἐξ αὐτῆς ἀπειλεῖ. 10

η'. ἐὰν βροντήσῃ, τοὺς μάλιστα δυνατοὺς τοῦ πολι-B τεύματος σκολιὰ ἐννοεῖν, ἀποτεύξεσθαι δὲ τῶν νοουμένων κατηγορεῖ.

θ'. ἐὰν βροντήσῃ, ἄνεμον πνεῦσαι ἐπίνοσον ἀπειλεῖ.

ι'. ἐὰν βροντήσῃ, ἔρις ἔσται τῷ τόπῳ ἐφ' οὗ ῥαγήσεται πρὸς ἕτερον οὐκ ἄλογος. 15

ια'. ἐὰν βροντήσῃ, οἱ ὑπεξούσιοι τῶν εὐγενῶν σκέψονταί τι καινὸν ἐν τοῖς κοινοῖς.

C ιβ'. ἐὰν βροντήσῃ, ἔπομβρον τὸν τοῦ ἀμητοῦ καιρὸν καὶ λιμὸν ἔσεσθαι λέγει. 20

ιγ'. ἐὰν βροντήσῃ, λιμὸν βαρὺν ἀπειλεῖ.

ιδ'. ἐὰν βροντήσῃ, νόσους ἀπειλεῖ.

ιε'. ἐὰν βροντήσῃ, κατομβρίαν μὲν δηλοῖ, εὐθηνίαν δὲ ὅμως.

ις'. ἐὰν βροντήσῃ, ὁ σπόρος πολὺς, ἄκαρπος δὲ δηλοῦται. 25

4 δηλοῖ] δι' αὐτὴν ἔσεσθαι *P* ‖ 9 τῶν δουλικῶν *P* ‖ 10 ἐξ αὐτῆς del. Hercher ‖ 12 ἐννοεῖ *P* ‖ 13 νοουμένων corr. Hercher pro ἐσομένων ‖ 15. 16 ῥαγήσεται corr. Hercher pro ῥήγνυτο ‖ 18 τι κοινὸν *C*, τὸ κοινὸν *P*: corr. H. | ἐπὶ τοῖς κοινοῖς *P*; ἐπὶ τοῖς κακοῖς coni. Rutgers ‖ 19 ἔπομβρον *P*, ἐπομβρίαν *C* ‖ 21 βαρεῖαν *C*

ιζ'. εἰ βροντήσῃ, ἔνδειαν τῶν ἀναγκαίων ἀπειλεῖ. D
ιη'. εἰ βροντήσῃ, λιμὸν ἅμα καὶ πολέμους σημαίνει.
ιθ'. εἰ βροντήσῃ, ὁ μὲν δενδρώδης καρπὸς ἐπιτεύ- 118 A
ξεται, νόσοι δὲ καὶ στάσεις δημοτικαὶ ἔσονται.
315 κ'. εἰ βροντήσῃ, ἀπώλειαν κλεινοῦ ἀνθρώπου καὶ
6 πόλεμον ἀπειλεῖ.
κα'. εἰ βροντήσῃ, λύπας καὶ ζημίας τῷ δήμῳ ἀπειλεῖ.
κβ'. εἰ βροντήσῃ, εὐθηνίαν μέν, χειμῶνα δὲ βαρὺν
καὶ ὑγρὸν σημαίνει.
10 κγ'. εἰ βροντήσῃ, τὸν χειμῶνα τοῦ ἔτους ἐνδεᾶ B
προλέγει.
κδ'. εἰ βροντήσῃ, λειψυδρίαν ἀπειλεῖ. τῶν δὲ ἀκρο-
δρύων εὐφορία ἔσται, περὶ δὲ τὸ φθινόπωρον θυέλ-
λαις διαφθαρήσεται.
15 κε'. εἰ βροντήσῃ, ἐκ διχονοίας τοῦ πολιτεύματος
τύραννος ἀναστήσεται, καὶ αὐτὸς μὲν ἀπολεῖται, ζημίαις C
δὲ ἀφορήτοις οἱ δυνατοὶ ὑποστήσονται.
κς'. εἰ βροντήσῃ, ὁ κακὸς δυνάστης βουλῇ θεοῦ
πεσεῖται.
20 κζ'. εἰ βροντήσῃ, δυνατοὶ πρὸς ἑαυτοὺς διενεχθή-
σονται καὶ ἀλλήλους διαβαλοῦσιν.
κη'. εἰ βροντήσῃ, σημεῖα ἔσται πραγμάτων μεγά-
λων μηνυτικά. εὐλαβητέον δὲ μὴ καὶ πῦρ ἐπομβρήσῃ
ἐνιαχοῦ.
25 κθ'. εἰ βροντήσῃ, αὐχμὸν ἐπιβλαβῆ ἀπειλεῖ. D
λ'. εἰ βροντήσῃ, ἀπὸ χειρόνων ἐπὶ τὰ κρείττω τὰ κοινά.

1 *ἀπειλῶν P* ‖ **6** *ἀπειλεῖ] σημαίνει P* ‖ **10** an *τοῦ σίτου* coll. p. 66, 20? | *ἐνδεῆ P* ‖ **12** *τῶν ἀκροδρύων P, τῶν δέκα ἀκροδρύων C*: corr. H. ‖ **14** *διαφθαρήσονται CP*: corr. Hercher ‖ **18** *θεοῦ βουλῇ P* ‖ **21** *διαλαβοῦσιν P, διαλάβωσιν C*: corr. H. ‖ **22** *δ' ἔσται P, ἔστι* malit Rutgers ‖ **23** *πυρὶ ἐπομβρίσει C* ‖ **24** *ἐνιαχοῦ* corr. H. pro *ἰαχοῦ* ‖ **26** *ἐπὶ τὰ κρείττονα κοινά P*

120 A ΟΚΤΩΒΡΙΟΣ 316

31. α'. Εἰ βροντήσῃ, κακὸν τύραννον τοῖς πράγμασιν ἀπειλεῖ.

β'. εἰ βροντήσῃ, εὐθηνία μὲν ἔσται, φθορὰ δὲ τῶν χερσαίων μυῶν. 5

γ'. εἰ βροντήσῃ, θυέλλας καὶ ταραχὰς δηλοῖ, δι' B ὧν τὰ μὲν δένδρα φθαρήσεται· μεγάλων δὲ ζαλῶν ἔσται τοῖς κοινοῖς μήνυμα.

δ'. εἰ βροντήσῃ, οἱ ἐλάττους ⟨τὰ⟩ τῶν κρειττόνων καθέξουσιν, ὑγιεινὸν δὲ ἔσται τὸ τοῦ ἀέρος κατάστημα. 10

ε'. εἰ βροντήσῃ, πάντων ἐπιδόσεις τῶν ἀναγκαίων, ἐξηρημένου σίτου.

C ϛ'. εἰ βροντήσῃ, ἡ ὄψις μὲν εὐθηνίας, ἀμητὸς δὲ ἐλάττων, καὶ τὸ φθινόπωρον ἐγγὺς ἄκαρπον.

ζ'. εἰ βροντήσῃ, ὄσπρια μὲν ἄφθονα, οἶνος δὲ ἐλάττων ἔσται. 15

η'. εἰ βροντήσῃ, σεισμὸν μετὰ μυκήματος προσδοκητέον.

θ'. εἰ βροντήσῃ, ὄλεθρον θηρίοις ἀπειλεῖ.

ι'. εἰ βροντήσῃ, ἀνδρὸς ἐπαινουμένου πτῶσιν δηλοῖ. 20

D ια'. εἰ βροντήσῃ, ἀλληλανεμίαν ἐπισφαλῆ ταῖς βοτάναις δηλοῖ.

ιβ'. εἰ βροντήσῃ, εὐθηνία μὲν ἔσται, σκηπτοὶ δὲ ἐκθλιβήσονται.

122 A ιγ'. εἰ βροντήσῃ, καλὰ τὰ συναλλάγματα, καὶ εὐθηνία πρὸς αὐτοῖς· ὁ δὲ ἐπὶ τῇ πολιτείᾳ βαρὺς οὐκ ἐπὶ πλέον ἰσχύσει. 25

1 μηνὶ ὀκτωβρίῳ rubr. *P* ‖ 2 εἰ βροντήσῃ hic habet *P*, qui om. per reliquum mensem ‖ 5 μυιῶν *CP*: corr. H. ‖ 9 τὰ add. H. ‖ 10 ὑγιεινόν τε *P* | ἔαρος *P* ‖ 11 ἐπίδοσις *P* ‖ 13 ἡ—εὐθηνίας] om. *P* ‖ 14 καὶ om. *P* ‖ 21 ἐπισφαλῆ scripsi coll. p. 63, 3 pro ἐπωφελῆ ‖ 24 σκολιαὶ βήσονται C

317 ιδʹ. εἰ βροντήσῃ, πόλεμον καὶ φθορὰν βοσκημάτων ἀπειλεῖ.

ιεʹ. εἰ βροντήσῃ, σπάνις ἔσται πνεύματος ξηροῦ B καὶ καυστικοῦ ἐμπίπτοντος τοῖς καρποῖς.

5 ιςʹ. εἰ βροντήσῃ, ἐξασθενήσουσιν οὕτως ἄνθρωποι, ὡς ἀγνώστοι εἶναι δοκεῖν.

ιζʹ. εἰ βροντήσῃ, πλουσίου ἀνδρὸς καὶ εὐγενῶν εὐτυχήματα.

ιηʹ. εἰ βροντήσῃ, ἐπείσακτον εὐθηνίαν δηλοῖ.

10 ιθʹ. εἰ βροντήσῃ, δυνάστου πτῶσιν ἢ βασιλέως C ἐκβολὴν ἀπειλεῖ, διχόνοιάν τε τῷ δήμῳ καὶ ἀφθονίαν δηλοῖ.

κʹ. εἰ βροντήσῃ, ἕλκη ξένα ἀπειλεῖ, τῷ δὲ πλήθει ἐκ διχονοίας ἐσχάτην ἀτυχίαν.

15 καʹ. εἰ βροντήσῃ, νόσοι βηχώδεις ἔσονται καὶ στηθῶν κακώσεις.

κβʹ. εἰ βροντήσῃ, μοχθηρίας τῷ δήμῳ καὶ νόσους ποικίλας ἀπειλεῖ.

κγʹ. εἰ βροντήσῃ, ὁ δῆμος εὐφρανθήσεται παρα- D
20 δόξως.

κδʹ. εἰ βροντήσῃ, ἐκ διχονοίας τῶν κρατούντων ὁ δῆμος περιέσται.

κεʹ. εἰ βροντήσῃ, βαρεῖα ἔσται ἀπὸ τῶν κακῶν 124 A δειλία.

3 *σπάνη C* ‖ **5** *ἀσθενήσουσιν οὕτως οἱ P* ‖ **6** *ἀγνώστους CP*: corr. Hercher ‖ **7** *λουσίαν* (*αν* corr. in *ου*) *P*, sed ante *λ* spatium pro rubric., *οὐσίαν* coni. Rutgers ‖ **8** an *ἀτυχήματα*? ‖ **9** *ιηʹ* om. *P* et postea *ιηʹ* ponit pro *ιθʹ*, *ιθʹ* pro *κʹ* etc. usque ad finem mensis ‖ **10** *δυνατοῦ P* ‖ **11** *τε* om. *P* ‖ **12** *δηλοῖ* scripsi pro *ἀπειλεῖ* quod neque bene iteratur et cum *ἀφθονίαν* pugnat (servato *ἀπειλεῖ* certe debuit pro *ἀφθονίαν* scribi *ἀστοχίαν* coll. p. 85, 18) ‖ **13** post *ἀπειλεῖ* add. *τοῖς ἀνθρώποις P* ‖ **16** ante *κακώσεις* add. *καὶ P* ‖ **21. 22** *ὁ δῆμος τῶν κρατούντων ἐκ διχονοίας περιέσεται P*

κϛʹ. εἰ βροντήσῃ, αὐξηθήσεται μὲν τὰ θηρία, λιμώξει δὲ ὅμως.

κζʹ. εἰ βροντήσῃ, ἐπομβρίαν δηλοῖ.

κηʹ. εἰ βροντήσῃ, ἔνδεια ἔσται τῶν ἀναγκαίων.

κθʹ. εἰ βροντήσῃ, ἐπίνοσος ὁ ἐνιαυτός. 318

B λʹ. εἰ βροντήσῃ, οὐκ εὐθηνίαν μόνον ἀλλὰ καὶ 6 ἐλάττωσιν τῶν πολεμίων καὶ εὐφροσύνην τοῖς πράγμασι δηλοῖ.

ΝΟΕΜΒΡΙΟΣ

32. αʹ. Εἰ βροντήσῃ, διχόνοιαν δηλοῖ τῇ πόλει. 10

βʹ. εἰ βροντήσῃ, εὐθηνίαν προλέγει.

C γʹ. εἰ βροντήσῃ, πράγματα ἀναφύεται, δι' ὧν οἱ ἐλάττους περιέσονται τῶν μειζόνων.

δʹ. εἰ βροντήσῃ, κρείττων ὁ σῖτος.

εʹ. εἰ βροντήσῃ, ζάλην τοῖς πράγμασι δηλοῖ, αἰσθη- 15 τοῖς τε καὶ ἀλόγοις νόσον.

ϛʹ. εἰ βροντήσῃ, σκώληκες τῷ σίτῳ λυμανοῦνται.

D ζʹ. εἰ βροντήσῃ, τοῖς ὑπὸ τὴν δύσιν ἀνθρώποις τε καὶ ἀλόγοις νόσοι.

ηʹ. εἰ βροντήσῃ, ἀδδηφαγίας ἔσεσθαι δεῖ διὰ νό- 20 σους ἀπειλουμένας.

126 A θʹ. εἰ βροντήσῃ, δημοτῶν ἀνασκολοπισμοὶ ἔσονται, ἀλλὰ μὴν καὶ ἀφθονία τῶν ἐπιτηδείων.

ιʹ. εἰ βροντήσῃ, πέρας ἔχει τὰ κακῶς βουλευθέντα

1 εὐξυνθήσεται *P*, εὖ ξυνθήσεται coni. Rutgers ‖ **3** ἐπομβρίαν etiam *P* ‖ **4** ἔνδειαν τῶν *P* ‖ **6** εὐθηνίαν, ἐλάττωσιν τῶν πολεμίων, εὐφροσύνην *P* ‖ **9** μηνὶ νοεμβρίῳ rubr. *P* ‖ **10** εἰ βροντήσῃ] abhinc semper om., sed hab. 14 *P* ‖ **12** δι' οὗ libri: corr. Bekker ‖ **15** δηλοῖ, αἰσθητοῖς τε] om. *P* ‖ **15. 16** αἰσθητοῖς] num ἀνθρώποις coll. infra 18? ‖ **16** pro τε coni. δὲ Bekker ‖ **17** τὸν σῖτον *P* | λοιμήνονται *C* ‖ **19** τε om. *P* ‖ **20** pro ἔσεσθαι H. proposuit εἴργεσθαι, ἔχεσθαι, ἀπέχεσθαι

τοῖς κρατοῦσιν, ἄνεμος δὲ καυσώδης τοῖς δένδροις λυμαίνεται.

ια'. εἰ βροντήσῃ, εὐχαριστείτωσαν ἄνθρωποι τῷ θεῷ· ἄνεμος γὰρ ἐξ ἀνατολῶν ῥεύσει. B

5 ιβ'. εἰ βροντήσῃ, ἐνύπνια τοῖς ἀνθρώποις πλείονα δόξει.

319 ιγ'. εἰ βροντήσῃ, ἐπικερδῆ μὲν τὸν καιρὸν, λοιμικὸν δὲ ἀπειλεῖ, ἕλμισι δὲ ἐντοσθίοις κακοῖ τὰ σώματα.

ιδ'. εἰ βροντήσῃ, ἑρπετὰ τοῖς ἀνθρώποις ἠρέμα 10 πως λυμαίνεται.

ιε'. εἰ βροντήσῃ, ὁ μὲν ἰχθὺς ἀφθονώτατος, λοι- C μώξει δὲ τὰ ἔνυδρα θηρία, καὶ τὰ κοινὰ δῆθεν καλλίονα.

ιϛ'. εἰ βροντήσῃ, ἀκρίδες καὶ μυῶν ἀρουραίων γένεσις, τῷ δὲ βασιλεῖ κίνδυνος, καὶ σίτου ἀφθονία ἔσται.

15 ιζ'. εἰ βροντήσῃ, νομὴν ἄφθονον τοῖς κτήνεσι δηλοῖ.

ιη'. εἰ βροντήσῃ, πόλεμον δηλοῖ καὶ τοῖς ἀστειοτέροις λύπας.

ιθ'. εἰ βροντήσῃ, γυναικῶν εὐπραγίας. D

κ'. εἰ βροντήσῃ, λιμὸν ἀλλ' οὐκ εἰς μακρὰν δηλοῖ.

20 κα'. εἰ βροντήσῃ, οἱ μύες φθαρήσονται, εὐθηνία 128 A δὲ οὐ σίτου μόνον ἀλλὰ καὶ νομῆς, καὶ ἰχθύων πλῆθος.

κβ'. εἰ βροντήσῃ, εὐετηρίαν δηλοῖ.

κγ'. εἰ βροντήσῃ, ἄνεμος νοσώδης πνεύσει.

κδ'. εἰ βροντήσῃ, φρούριον τῇ πολιτείᾳ χρηστὸν 25 ὑπὸ πολεμίοις τελέσει.

1 *κρατοῦσι καὶ ἄνεμος P* ‖ **2** *λυμήνεται C* ‖ **3** *εὐχαριστήτωσαν P* ‖ **8** *ἕλμιξι P* | *κάκοι* (sic!) *P* ‖ **10** *λυμήνεται C* ‖ **11. 12** *λιμώξει P* ‖ **13** *ἀκρίδων καὶ μυιῶν P* ‖ **14** *τῶν δὲ βασιλέων P* | *καὶ σίτου*] *σίτου δὲ P* ‖ **15** *τομὴν P* (sed *τ* rubre) ‖ **19—23** ad *κ'* et *κα' P* transponit, quae ad *κγ'* et *κδ'* leguntur, ad *κβ'*, *κγ'*, *κδ'*, quae ad *κ'*, *κα'*, *κβ'* ‖ **19** *ἀλλ' οὐκ εἰς μακρὰν P*, *οὐ μακρὸν C* ‖ **20** *μυῖες P* ‖ **20. 21** *εὐθηνία σίτου, πλῆθος ἰχθύων P* ‖ **25** *πολεμίοις* etiam *P*

κε΄. εἰ βροντήσῃ, πόλεμος ἐπικίνδυνος ἔσται· καὶ ἄνεμος νοσώδης πνεύσει.

B κϛ΄. εἰ βροντήσῃ, πόλεμον ἐμφύλιον καὶ πτῶσιν πολλῶν δηλοῖ· ὄμβροι τε ἔσονται λοιμώδεις.

κζ΄. εἰ βροντήσῃ, τὰ αὐτὰ ἀπειλεῖ. 5

κη΄. εἰ βροντήσῃ, τῆς συγκλήτου πολλοὶ ἀθυμίᾳ φθαρήσονται.

κθ΄. εἰ βροντήσῃ, οἱ μὲν χείρους κάλλιον πράξουσιν, αἱ δὲ ἐσόμεναι ὀπῶραι φθαρήσονται. 320

λ΄. εἰ βροντήσῃ, θεοφιλέστερον οἱ ἄνθρωποι ζήσονται· καὶ εἰκότως σύμμετρα τὰ κακά. 10 C

ΔΕΚΕΜΒΡΙΟΣ

33. α΄. Εἰ βροντήσῃ, εὐετηρίαν μεθ᾽ ὁμονοίας δηλοῖ.

β΄. εἰ βροντήσῃ, ἀφθονία ἰχθύων καὶ καρπῶν διαφερόντως. 15

γ΄. εἰ βροντήσῃ, τοῖς θρέμμασιν ἄνθρωποι καταχρήσονται δι᾽ ἔνδειαν ἰχθύων.

D δ΄. εἰ βροντήσῃ, βαρὺς ἔσται χειμών, εὐθηνία δὲ ὅμως.

ε΄. εἰ βροντήσῃ, νόσους ψωρώδεις ἀπειλεῖ. 20

ϛ΄. εἰ βροντήσῃ, αἰσίους ὀνείρους οἱ ἄνθρωποι ἐνυπνιασθήσονται, οἳ κακὸν πέρας ἕξουσιν. 130 A

ζ΄. εἰ βροντήσῃ, τὸ αὐτὸ δηλοῖ πᾶσιν.

1. 2 καὶ ἄνεμος — πνεύσει] sic scripsi; ἄνεμον νοσώδη ποιήσει *P*, om. haec *C* ‖ **4** ὄμβροι τε ἔσονται λοιμώδεις] addidi ex *P* ‖ **9** ἐσόμεναι] ἐλπιζόμεναι coni. H. ‖ **11** καὶ εἰκότως σύμμετρα corr. H. pro εἰκότως συμμέτρια ‖ **12** μηνὶ δεκεμβρίῳ rubr. *P* ‖ **14** ἀφθονίαν *P* ‖ **20** ψωριώδεις *CP*: corr. Hercher | ἀπειλεῖ] δηλοῖ *P* ‖ **21** αἰσίους ὀνείρους scripsi pro ὁσίοις ὀνείροις; Hercher coni. θείους ὀνείρους ‖ **23** πεῦσιν *P*

η'. εἰ βροντήσῃ, νότος ἐπικρατήσει· ἐξ οὗ εὐθηνία μὲν καρπῶν ἔσται, ὄλεθρος δὲ θρεμμάτων.

θ'. εἰ βροντήσῃ, κλεινοῦ ἀνδρὸς πτῶσις ἔσται.

ι'. εἰ βροντήσῃ, φθορὰν ἀνθρώποις ἐκ νοσημάτων B
5 ἀπειλεῖ, οἱ δὲ ἰχθύες ἐπιδώσουσιν.

ια'. εἰ βροντήσῃ, καυσώδης ἡ θερινὴ ἔσται τροπή, καὶ ἀφθονία ἐπείσακτος.

ιβ'. εἰ βροντήσῃ, ἐκ γαστρορροίας νόσους ἀπειλεῖ.

321 ιγ'. εἰ βροντήσῃ, εὐθηνίαν, νόσους δὲ ἀπειλεῖ.

10 ιδ'. εἰ βροντήσῃ, ἐμφύλιον ἅμα πόλεμον καὶ εὐ- C θηνίαν δηλοῖ.

ιε'. εἰ βροντήσῃ, πολλοὶ ἐπὶ πόλεμον πορεύσονται, ὀλίγοι δὲ ἀναστρέψουσιν.

ις'. εἰ βροντήσῃ, καινοπρεπῆ πράγματα ἐπὶ τῆς
15 πολιτείας.

ιζ'. εἰ βροντήσῃ, ἀκρίδας φύσεσθαι λεπτὰς ἀπειλεῖ, εὐθηνίαν δὲ ὅμως.

ιη'. εἰ βροντήσῃ, πόλεμος ἔσται βαρύς.

ιθ'. εἰ βροντήσῃ, ἐπίτασιν τοῦ πολέμου ἀπειλεῖ. D

20 κ'. εἰ βροντήσῃ, ἔνδειαν τῶν ἀναγκαίων λέγει.

κα'. εἰ βροντήσῃ, ἄνεμον θερμὸν καὶ νοσοποιὸν 132 A ῥεῦσαι ἀπειλεῖ.

κβ'. εἰ βροντήσῃ, καυσῶδες ἔσται τὸ θέρος καὶ πολύκαρπον.

25 κγ'. εἰ βροντήσῃ, ἀνθρώποις νόσον δηλοῖ, ἀλλ' ἀκίνδυνον.

κδ'. εἰ βροντήσῃ, ἐμφυλίους πολέμους τῇ πόλει καὶ B ὄλεθρον τοῖς ὑλαίοις θηρίοις ἀπειλεῖ.

1 νότος ἐπικρατήσει *P*, νόσος ἐπικρατής *C* ‖ 5 δὲ om. *P* ‖ 9 εὐθηνία *P* ‖ 16 φύεσθαι *C* ‖ 27 ἐμφύλιον πόλεμον *P* ‖ 28 τῶν ὑλαίων θηρίων *P*

κε΄. εἰ βροντήσῃ, ἐκστρατείας κίνησις ἐπὶ πόλεμον, ἀλλ' εὐτυχήσει.

κς΄. εἰ βροντήσῃ, νόσους τοῖς θεράπουσιν ἀπειλεῖ.

κζ΄ εἰ βροντήσῃ, ὁ βασιλεὺς πολλοὺς ὠφελήσει.

κη΄. εἰ βροντήσῃ, ἀκρίδων γένεσις. 5

C κθ΄. εἰ βροντήσῃ, ἰσχνότητα τοῖς σώμασιν ὑγιεινὴν δηλοῖ.

λ΄. εἰ βροντήσῃ, ἀνταρσίαν κατὰ τῆς βασιλείας δηλοῖ καὶ εἰκότως πόλεμον.

ΙΑΝΟΥΑΡΙΟΣ

322

34. α΄. Εἰ βροντήσῃ, ἐλαφρὸς ἄνεμος ῥεύσει, ἀλλ' ἀκίνδυνος. 11

D β΄. εἰ βροντήσῃ, ἀδόκητος ἔσται πόλεμος.

γ΄. εἰ βροντήσῃ, μετὰ νίκην ἧτταν τοῖς ἐν πολέμῳ φράζει· εὐθηνία δὲ ἔσται. 15

134A δ΄. εἰ βροντήσῃ, ὁμονοήσει ὁ δῆμος πρὸς εἰρήνην.

ε΄. εἰ βροντήσῃ, ὑγίειαν τοῖς κτήνεσι σημαίνει.

ϛ΄. εἰ βροντήσῃ, βηχώδη νόσον ἀπειλεῖ, ἀφθονίαν δὲ ἰχθύων καὶ καρπῶν δηλοῖ.

B ζ΄. εἰ βροντήσῃ, δουλομαχία ἔσται καὶ νόσος συχνή. 20

η΄. εἰ βροντήσῃ, ὁ δυνάστης τῆς πολιτείας πρὸς τοῦ δήμου κινδυνεύσει.

θ΄. εἰ βροντήσῃ, ὁ τῆς ἀνατολῆς βασιλεὺς κινδυνεύσει.

ι΄. εἰ βροντήσῃ, ἀνέμου κίνησιν σφοδρὰν καὶ σίτου μὲν εὐφορίαν τῶν δ' ἄλλων καρπῶν ἀφορίαν δηλοῖ. 25

C ια΄. εἰ βροντήσῃ, λιμὸν σημαίνει καὶ μέχρις ἀλόγων.

2 εὐτυχῆς *P* ‖ 6 ἰσχνότητα *C* | ὑγιεινὴν etiam *P* ‖ 10 μηνὶ Ἰανουαρίῳ rubr. *P* ‖ 11 ἄνεμος] κίνδυνος *P* ‖ 16 ὁ om. *P* ‖ 18 ἀφθονίαν etiam *P* ‖ 21 ὁ om. *P* ‖ 23—26 ad θ΄ refert *P*, quod ad ι΄ legitur et vice versa ‖ 25 καὶ om. *P* ‖ 26 δηλοῖ om. *P*

ιβʹ. εἰ βροντήσῃ, οἱ ἄνθρωποι τὰς ὄψεις νοσήσουσιν, ἔσται δὲ πολὺς χόρτος καὶ ἰχθύων ἐπίδοσις.

ιγʹ. εἰ βροντήσῃ, νόσους ἀπειλεῖ.

ιδʹ. εἰ βροντήσῃ, σπάνιν καὶ μυῶν γένεσιν καὶ
5 ὄλεθρον τετραπόδων ἀπειλεῖ.

ιεʹ. εἰ βροντήσῃ, στάσιν δουλικὴν καὶ τιμωρίαν D αὐτοῖς καὶ εὐθηνίαν καρπῶν.

ιϛʹ. εἰ βροντήσῃ, ὁ δῆμος ὑπὸ τοῦ βασιλέως ταραχθήσεται.

323 ιζʹ. εἰ βροντήσῃ, νόσους ἀκινδύνους ἀπειλεῖ. 136 A

11 ιηʹ. εἰ βροντήσῃ, πράγματα ἐκδειματοῦντα τὸν δῆμον ἀναστήσεται.

ιθʹ. εἰ βροντήσῃ, καὶ ὁ βασιλεὺς νικήσει καὶ ὁ δῆμος τὴν κρείττονα ἕξει τάξιν.

15 κʹ. εἰ βροντήσῃ, εὐθηνία μὲν ἐπείσακτος ἔσται, B βηχώδης δὲ νόσος ἐνοχλήσει τοῖς σώμασιν.

καʹ. εἰ βροντήσῃ, ὁ βασιλεὺς πολλοῖς ἐπιβουλεύσας τέλος ἐπιβουλεύεται.

κβʹ. εἰ βροντήσῃ, εὐθηνία μὲν ἔσται, μυῶν δὲ καὶ
20 ἐλάφων πλῆθος.

κγʹ. εἰ βροντήσῃ, εὐταξίαν τῇ πόλει δηλοῖ.

κδʹ. εἰ βροντήσῃ, νόσον μετὰ ἐνδείας δηλοῖ. C

κεʹ. εἰ βροντήσῃ, δουλομαχία ἔσται.

κϛʹ. εἰ βροντήσῃ, πολλοὶ πρὸς τοῦ κρατοῦντος
25 ἀναιρεθήσονται, τέλος δὲ καὶ αὐτός.

2 *καὶ* om. *P* ‖ 3 *εἰ βροντήσῃ*] hic add. *P* ‖ 4 *μυιῶν P* ‖ 8 *ὁ* om. *P* ‖ 10 *ἀπειλεῖ*] *δηλοῖ P* ‖ 12 *ἀναστήσονται CP*: corr. Hercher ‖ 13 *καὶ* ante *ὁ βασιλεὺς* om. *P* ‖ 14 *τάξιν ἕξει C* ‖ **15. 16** *εὐθηνία ἐπείσακτος, βηχώδης νόσος τοῖς σώμασιν P* ‖ **17** *ἐπιβουλεύσας*] *βασιλεύσας P* ‖ 19 *μυιῶν P* ‖ 20 *ἀσκαλάφων* coni. Swoboda p. 59 | *πληθύς P* ‖ 25 post *αὐτὸς* Rutgers *ἕξει* vel tale quid addi iubet; debuit certe *ἀναιρεθήσεται*

κζ΄. εἰ βροντήσῃ, νόσους ἀκινδύνους δηλοῖ.

D κη΄. εἰ βροντήσῃ, οἱ μὲν ἐνάλιοι ἰχθύες ἐπιδώσουσι, τὰ δὲ θρέμματα φθαρήσεται.

κθ΄. εἰ βροντήσῃ, λοιμικὸν καὶ νοσῶδες ἐπὶ πᾶσι τὸ τοῦ ἀέρος κατάστημα.

λ΄. εἰ βροντήσῃ, θάνατον συχνὸν ἀπειλεῖ.

138 A

ΦΕΒΡΟΥΑΡΙΟΣ

324

35. α΄. Εἰ βροντήσῃ, πόλεμον καὶ πτῶσιν ἀνδρῶν εὐπόρων ἀπειλεῖ.

β΄. εἰ βροντήσῃ, ὁ μὲν σῖτος ἐλάττων, ἡ δὲ κριθὴ κρείττων, καὶ θηρίων μὲν αὔξησις, φθίσις δὲ ἀνθρώπων ἔσται. 10

γ΄. εἰ βροντήσῃ, ἐμφύλιος ἔσται στάσις.

δ΄. εἰ βροντήσῃ, οἱ ἄνθρωποι οὐ προσώποις μόνον ἀλλὰ καὶ διανοίαις αὐταῖς ταραχθήσονται. 15

B ε΄. εἰ βροντήσῃ, ἄμητος πολὺς καὶ ἀνθρώπων ἀπώλεια ἔσται.

ϛ΄. εἰ βροντήσῃ, φθορὰ τῶν ξηρῶν καρπῶν, καὶ διαφερόντως τῶν κριθῶν.

ζ΄. εἰ βροντήσῃ, φθορὰν οὐκ εἰς μακρὰν ἀνθρώποις ἀπειλεῖ. 20

η΄. εἰ βροντήσῃ, πρᾶγμα μέγιστον ἀναφύσεται τῇ πολιτείᾳ, καὶ οἱ μὲν ἰχθύες ἐπιδώσουσι, τὰ δὲ θηρία φθαρήσεται.

C θ΄. εἰ βροντήσῃ, ἐλάττων ἡ κριθή. 25

3 φθαρήσεται corr. H., φθαρήεται *C*, φθαρήσονται *P* ‖ 7 μηνὶ φεβρουαρίῳ *P* rubr. ‖ 11 καὶ et μὲν et δὲ om. *P* ‖ 12 ἔσται om. *P* ‖ 13 στάσις ἔσται *P* ‖ 14 οἱ om. *P* ‖ 17 ἔσται om. *P* ‖ 18 καὶ om. *P* ‖ 22 γέγιστον *P* ¦ ἀναφυήεται *CP*: corr. H. coll. p. 84, 5 ‖ 24 φαρήσεται *P*

ι΄. εἰ βροντήσῃ, τὰ θηρία τοῖς ἀνθρώποις λυμανεῖται.

ια΄. εἰ βροντήσῃ, εὐτοκία γυναικῶν.

ιβ΄. εἰ βροντήσῃ, θάνατον συχνὸν ἀπειλεῖ καὶ ἀνέ-
5 μους ἀήθεις.

ιγ΄. εἰ βροντήσῃ, εὐθηνία μὲν ἔσται, στάσις δὲ ὅμως πολιτική.

ιδ΄. εἰ βροντήσῃ, ἀποβολὴν τέκνων καὶ ἔφοδον 140 A ἑρπετῶν ἐπιβλαβῆ ἀπειλεῖ.

325 ιε΄. εἰ βροντήσῃ, λοιμικὸς ἀὴρ ἔσται, θηρίων τε
11 καὶ μυῶν γένεσις.

ις΄. εἰ βροντήσῃ, τῷ μὲν δήμῳ αἴσιον, τοῖς δὲ δυνατοῖς ἐκ διχονοίας κακόν.

ιζ΄. εἰ βροντήσῃ, θέρος ἔσται ἀφθονώτατον.

15 ιη΄. εἰ βροντήσῃ, ἄνεμον βαρὺν καὶ φλυκταινῶν B ἀνάστημα τοῖς σώμασιν ἀπειλεῖ.

ιθ΄. εἰ βροντήσῃ, ἑρπετῶν καὶ ἑλμίνθων πρὸς αὐτοῖς ὄχλος ἔσται.

κ΄. εἰ βροντήσῃ, καλοὺς ἀέρας δηλοῖ.

20 κα΄. εἰ βροντήσῃ, εὐθηνίαν δηλοῖ.

κβ΄. εἰ βροντήσῃ, ἐπίνοσος ὁ ἀήρ, ἀλλ' οὐ φθαρτικὸς ἔσται.

κγ΄. εἰ βροντήσῃ, ἀνθρώποις μὲν δυσμορφίαν, ὀρ- C νέοις δὲ φθορὰν ἀπειλεῖ.

25 κδ΄. εἰ βροντήσῃ, ὑγίειαν μὲν ἀνθρώποις, ἰχθύσι δὲ καὶ ἑρπετοῖς ὄλεθρον ἀπειλεῖ.

8 καὶ om. *P* ‖ **9** ἀπειλὴν *C* ‖ **10** ἔσται om. *P* ‖ **10. 11** θηρίων καὶ μυιῶν *P* ‖ **12** αἴσιος *P* ‖ **12. 13** τοῖς δὲ δυνατοῖς scripsi pro τῶν δὲ δυνατῶν ‖ **14** ἀέρος *P* (sed ἀ rubr.) ‖ **15** φλυκτήνων *C*, φλυκτίδων *P*: corr. H. ‖ **16** num ἀνάξεμα? ‖ **17** καὶ om. *C* | πρὸς αὐτοῖς] om. *P* ‖ **20** εὐθηνίαν etiam *P* ‖ **25** ὑγείαν *P*

κε΄. εἰ βροντήσῃ, τοῖς τρυφῶσιν ἐναντίον· πόλεμοι γὰρ ἔσονται, καὶ ζάλη βαρεῖα.

D κς΄. εἰ βροντήσῃ, αὐχμὸν καὶ λειψυδρίαν καὶ ψώρωσιν τοῖς σώμασιν ἀπειλεῖ.

κζ΄. εἰ βροντήσῃ, στάσιν τῷ δήμῳ δηλοῖ. 5

142 A κη΄. εἰ βροντήσῃ, εὐθηνίαν μέν, ἄνεμον δὲ νοσοποιὸν ῥεῦσαι μαντεύεται.

κθ΄. εἰ βροντήσῃ, πόλεμον καὶ εὐθηνίαν δηλοῖ.

λ΄. εἰ βροντήσῃ, ἀγαθὰ σημαίνει μετὰ μακρᾶς τινος 326 τοῦ δήμου διχοστασίας. 10

ΜΑΡΤΙΟΣ

B 36. α΄. Εἰ βροντήσῃ, ἅπαν τὸ ἔτος ἀψιμαχίαι καὶ διχόνοιαι ἔσονται.

β΄. εἰ βροντήσῃ, παύσεται τὰ προαπειλούμενα.

γ΄. εἰ βροντήσῃ, κακοδαιμονία μετὰ ἐνδείας τοῖς 15 πράγμασιν.

δ΄. εἰ βροντήσῃ, εὐθηνία ἀφθονωτάτη ἔσται.

ε΄. εἰ βροντήσῃ, εὐήλιον τὸ ἔαρ καὶ εὔκαρπον τὸ θέρος ἔσται.

C ϛ΄. εἰ βροντήσῃ, ὅμοια τοῖς πρὸ ταύτης. 20

ζ΄. εἰ βροντήσῃ, ἄνεμος βαρὺς ἀναστήσεται, ὁ δὲ κρατῶν τὰ πράγματα κινήσει.

η΄. εἰ βροντήσῃ, βροχὰς σημαίνει.

θ΄. εἰ βροντήσῃ, φθορὰν μὲν ἀνθρώπων, γένεσιν δὲ θηρίων ἀπειλεῖ. 25

3. 4 αὐχμόν, λιψυδρίαν, ψωρίωσιν τοῖς σώμασιν (om. ἀπειλεῖ) *P* ‖ 8 πόλεμον, εὐθηνίαν (om. δηλοῖ) *P* ‖ 9 μικρᾶς coni. Bekker ‖ 11 μηνὶ μαρτίῳ rubr. *P* ‖ 14 παύσει *CP*: corr. Hercher ‖ 18 εὔκαρπον etiam *P* ‖ 21 στήσεται *C* ‖ 21. 22 ὁ δὲ τῶν πραγμάτων κρατῶν ἀποκινηθήσεται *P* ‖ 23 βροχὴν *P*

ι'. εἰ βροντήσῃ, φθορὰ τοῖς τετραπόδοις.

ια'. εἰ βροντήσῃ, κατομβρίαν καὶ ἀκρίδων γένεσιν D δηλοῖ.

ιβ'. εἰ βροντήσῃ, δυνατὸς τοῦ πολιτεύματος ἢ 144 A
5 στρατηγὸς κινδυνεύσει, διὸ μάχαι συρραγήσονται, καὶ τὰ θηρία τοῖς ἀνθρώποις ἐπέλθῃ.

ιγ'. εἰ βροντήσῃ, εὐθηνία ἔσται, τὰ δὲ θηρία φθαρήσεται, καὶ οἱ ἰχθύες ἐπιδώσουσι· καὶ ἑρπετὰ τοῖς οἰκήμασιν ἐνοχλήσει, οὐ μὴν βλάψει.

327 ιδ'. εἰ βροντήσῃ, εὐθηνίαν μὲν σημαίνει, θάνατον
11 δὲ ἀνθρώπων καὶ γένεσιν θηρίων ἀπειλεῖ. B

ιε'. εἰ βροντήσῃ, καύματα σημαίνει καὶ λειψυδρίαν καὶ μυῶν ὄχλον καὶ ἰχθύων πολύν.

ιϛ'. εἰ βροντήσῃ, ὑγιεινὸν μὲν τὸ ἔτος, ἀλλ' ἐνδεὲς
15 τῶν ἐπιτηδείων.

ιζ'. εἰ βροντήσῃ, πρᾶγμα παράδοξον τῷ δήμῳ συμβήσεται, συχνὴ δὲ φθορὰ ἀνθρώποις τε καὶ θηρίοις τετράποσιν.

ιη'. εἰ βροντήσῃ, κατομβρίαν καὶ νόσον καὶ ἀκρί- C
20 δων γένεσιν καὶ ἐγγὺς ἀκαρπίαν δηλοῖ.

ιθ'. εἰ βροντήσῃ, αὐχμὸς ξηρότατος καὶ φθοροποιός.

κ'. εἰ βροντήσῃ, εὐπορώτερον οἱ ἄνθρωποι ἅμα καὶ ἀφθονώτερον ζήσονται.

25 κα'. εἰ βροντήσῃ, εὐθηνίαν μετὰ πολέμους καὶ φθορώδεις αὐχμοὺς δηλοῖ.

1 φθορὰν *P* ‖ 2 κατομβρία· ἀκρίδων γένεσις *P* ‖ 6 ἐπέλθει *P* ‖ 7 δὲ om. *P* ‖ 8 καὶ ante οἱ om. *P* | καὶ ante ἑρπετὰ om. *P* ‖ 12. 13 καύματα, λιψυδρίαν, μυιῶν καὶ ἰχθύων ὄχλον *P* ‖ 13 μυιῶν *CP*: corr. H. ‖ 14 ἐνδεὲς etiam *P* ‖ 16 δήμῳ om. *P* ‖ 17 τε om. *P* ‖ 19 καὶ utrumque om. *P* ‖ 23 εὐτροπώτερον *CP*: corr. Hercher ‖ 25 εὐθηνίαν etiam *P* | πολέμου *P*

D κβʹ. εἰ βροντήσῃ, φθορὰν μὲν ὀρνέων, ἐπίδοσιν δὲ τῶν ἐπιτηδείων.

κγʹ. εἰ βροντήσῃ, στάσεις δηλοῖ.

146 A κδʹ. εἰ βροντήσῃ, εὐθηνίαν σημαίνει.

κεʹ. εἰ βροντήσῃ, καινὰ πράγματα τῷ δήμῳ ἀναφύεται. 5

κϛʹ. εἰ βροντήσῃ, κτῆσιν ἐπεισάκτων ἀνδραπόδων δηλοῖ.

κζʹ. εἰ βροντήσῃ, ἐπείσακτον εὐθηνίαν δηλοῖ.

κηʹ. εἰ βροντήσῃ, ἀφθονία ἰχθύων θαλαττίων ἔσται. 10

B κθʹ. εἰ βροντήσῃ, αἱ γυναῖκες τῆς κρείττονος δόξης ἀνθέξονται.

λʹ. εἰ βροντήσῃ, δυνατός τις τῆς βασιλείας ἐγκρατὴς ἔσται, δι᾽ οὗ εὐφροσύνη. 328

ΑΠΡΙΛΙΟΣ 15

37. αʹ. Εἰ βροντήσῃ, ἐμφύλιον στάσιν καὶ ἀποC πτώσεις οὐσιῶν ἀπειλεῖ.

βʹ. εἰ βροντήσῃ, δίκης σημεῖον, ἐσθλοῖς ἐσθλὰ φερούσης καὶ φαύλοις φαῦλα.

γʹ. εἰ βροντήσῃ, κέρδη ἐξ ἐπεισάκτου εὐθηνίας δηλοῖ. 20

δʹ. εἰ βροντήσῃ, ὀργὴν τῶν κρειττόνων ἀπειλεῖ τοῖς ἀξίοις.

εʹ. εἰ βροντήσῃ, αὐχμὸν μὲν τῷ ἦρι, ὑγιεινὸν δὲ τὸν ἐνιαυτὸν σημαίνει. 25

D ϛʹ. εἰ βροντήσῃ, πόλεμοι ἐμφύλιοι ἀναστήσονται.

7 ἐπείσακτον *CP*: corr. Hercher ‖ 10 ἔσται om. *P* ‖ 12 ἀνθέξονται etiam *P* ‖ 15 μηνὶ ἀπριλλίῳ rubr. *P* ‖ 18. 19 φερούσης corr. H. pro φέρουσα ‖ 24 τὸ ἔαρ *P*

ζ'. εἰ βροντήσῃ, ἀγαθὰ πάντα καὶ ἄφθονον εὐετηρίαν δηλοῖ.

η'. εἰ βροντήσῃ, κατομβρίαν δηλοῖ ἐπίνοσον. 148 A

θ'. εἰ βροντήσῃ, νίκην τῇ βασιλείᾳ δηλοῖ καὶ τοῖς
5 δυνατοῖς εὐφροσύνην.

ι'. εἰ βροντήσῃ, ἀνδρῶν ἀγαθῶν προκοπαὶ ἔσονται.

ια'. εἰ βροντήσῃ, τὰ αὐτὰ σημαίνει.

ιβ'. εἰ βροντήσῃ, βροχὰς καὶ εὐθηνίας καὶ φθορὰν B ἰχθύων δηλοῖ.

10 ιγ'. εἰ βροντήσῃ, ἀνθρώποις καὶ κτήνεσι φθορὰν ἀπειλεῖ.

ιδ'. εἰ βροντήσῃ, ὑγίειαν καὶ εὐθηνίαν δηλοῖ.

ιε'. εἰ βροντήσῃ, λοιμὸν σημαίνει.

329 ις'. εἰ βροντήσῃ, εὐθηνίαν μέν, μυῶν δὲ ἀρουραίων
15 γένεσιν δηλοῖ.

ιζ'. εἰ βροντήσῃ, ἀφθονίαν τῶν ἐπιτηδείων ση- C μαίνει.

ιη'. εἰ βροντήσῃ, διχόνοιαν καὶ ἀνδρῶν ἀστοχίαν σημαίνει.

20 ιθ'. εἰ βροντήσῃ, δυνατὸς ἀνὴρ τῆς πολιτείας οὐσίας ἅμα καὶ δόξης ἀφαιρεθήσεται.

κ'. εἰ βροντήσῃ, θεοχολωσίαν σημαίνει.

κα'. εἰ βροντήσῃ, τοῖς μὲν καρποῖς δεξιόν, τῇ δὲ D πολιτείᾳ πόλεμον σημαίνει.

25 κβ'. εἰ βροντήσῃ, φθορὰ τῶν μυῶν ἔσται.

κγ'. εἰ βροντήσῃ, βροχὴν ὠφέλιμον τοῖς σπορί- 150 A μοις δηλοῖ.

1 φθόνου *C* ‖ 4 δίκην (δ rubr.) *P* | τῇ βασιλείᾳ etiam *P* ‖ 12 ὑγείαν *P* | εὐθηνίαν etiam *P* ‖ 14 εὐθηνίαν etiam *P* | μυιῶν *P* ‖ 16 ἀφθονίαν etiam *P* ‖ 18 ἀστοχίαν etiam *P* ‖ 23 δεξιὰν *C* ‖ 25 μυῶν *P*, μυιῶν *C*

κδʹ. εἰ βροντήσῃ, διχόνοια ἔσται τῶν δυνατῶν, τὰ δὲ σκέμματα αὐτῶν ἀναφανήσεται.

κεʹ. εἰ βροντήσῃ, εἰρήνη ἀνὰ πάντα τὸν ἐνιαυτόν.

κϛʹ. εἰ βροντήσῃ, ἐλπίδα καρπῶν μεγάλην καὶ ἀμήτων σπάνιν δηλοῖ. 5

B κζʹ. εἰ βροντήσῃ, διοσημεία παράδοξος ὀφθήσεται.

κηʹ. εἰ βροντήσῃ, ὅπλοις ὁ δῆμος ἀναζώσεται.

κθʹ. εἰ βροντήσῃ, ἐπικρατήσει ὁ ζέφυρος.

λʹ. εἰ βροντήσῃ, πραγμάτων καλῶν ἐπομβρία.

ΜΑΙΟΣ 10

C 38. αʹ. Εἰ βροντήσῃ, φυγὴν τῷ δήμῳ καὶ ἀτιμίαν δηλοῖ.

βʹ. εἰ βροντήσῃ, λιμὸν ἀπειλεῖ.

γʹ. εἰ βροντήσῃ, ἐπείσακτον εὐθηνίαν δηλοῖ.

δʹ. εἰ βροντήσῃ, εὔκρατος ἀήρ, καὶ οἱ καρποὶ εὐθηνοὶ ἔσονται. 330 16

εʹ. εἰ βροντήσῃ, ἐναλλαγὴ τῶν λυπηρῶν τοῖς πράD γμασιν ἔσται, καὶ πλείων ὁ σῖτος ἤπερ ἡ κριθή· τὰ δὲ ὄσπρια φθαρήσεται.

ϛʹ. εἰ βροντήσῃ, θᾶττον ἀκμάσαι τοὺς καρποὺς καὶ 20 φθαρῆναι δηλοῖ.

152 A ζʹ. εἰ βροντήσῃ, ὀρνέων καὶ ἰχθύων ἀφθονία ἔσται.

ηʹ. εἰ βροντήσῃ, ἀπαίσιον τῷ δήμῳ.

θʹ. εἰ βροντήσῃ, λοιμὸν σημαίνει, ἀλλὰ μετρίως ἐπικίνδυνον. 25

2 ἀναφανήσονται *P* ‖ 3 εἰρήνη corr. H.: εἰρήνην *P*, om. *C* ‖ 4 μεγάλων *P* ‖ 4. 5 ἀμήτων etiam *P* ‖ 6 διοσημεῖα *CP*; διοσημία coni. Hercher | παραδόξως *C* ‖ 9 πράγματα κακά· ἐπομβρία *P* | an ⟨μετὰ⟩ πραγμάτων (coll. p. 82, 9)? ‖ 10 μηνὶ μαΐω rubr. *P* ‖ 11 αὐγὴν (α rubr.) *P* | ἀτιμίαν etiam *P* ‖ 17 ἐναλλαγὴ etiam *P* (ἐ rubr. corr. ex α) ‖ 23 ἀναίσιον *C*

ι'. εἰ βροντήσῃ, ταραχὰς κατομβρίας καὶ ὑπερχύσεις ποταμῶν ἐπιβλαβεῖς δηλοῖ, σαυρῶν τε καὶ ἑρπετῶν πλῆθος.

ια'. εἰ βροντήσῃ, εὐθηνίαν κατά τε τὴν γῆν κατά B
5 τε τὴν θάλασσαν ἐλπιστέον.

ιβ'. εἰ βροντήσῃ, φθορὰ ἰχθύων ἔσται.

ιγ'. εἰ βροντήσῃ, ἐπίδοσιν ποταμίων ὑδάτων δηλοῖ, νόσους δὲ τοῖς ἀνθρώποις.

ιδ'. εἰ βροντήσῃ, ἀνατολικὸς ἔσται πόλεμος καὶ
10 φθορὰ πολλή.

ιε'. εἰ βροντήσῃ, εὐθηνίαν δηλοῖ.

ις'. εἰ βροντήσῃ, εὔχεσθαι δεῖ διὰ τὰ ἀπειλούμενα. C

ιζ'. εἰ βροντήσῃ, ὑετὸν σημαίνει.

ιη'. εἰ βροντήσῃ, στάσιν καὶ ἐξ αὐτῆς πόλεμον καὶ
15 ἔνδειαν τῶν ἐπιτηδείων.

ιθ'. εἰ βροντήσῃ, εὐνοίᾳ τοῦ δήμου ἀνήρ τις εἰς ἄκρον εὐδαιμονίας ἀρθήσεται.

331 κ'. εἰ βροντήσῃ, τοῖς μὲν περὶ τὴν ἀνατολὴν εὐ- D
θηνία, τοῖς δὲ ἐπὶ δύσιν οὐχ οὕτως.

20 κα'. εἰ βροντήσῃ, εὐχῶν δεῖ διὰ τὰ ἀπειλούμενα.

κβ'. εἰ βροντήσῃ, κατομβρίαν καὶ φθορὰν τῶν 154 A
θαλαττίων ἰχθύων σημαίνει.

κγ'. εἰ βροντήσῃ, εὐομβρίαν καρποφόρον δηλοῖ.

κδ'. εἰ βροντήσῃ, μεγάλα κακά, ὡς ἐξ ἀθυμίας
25 λειποθυμῆσαι τοὺς ὑπηκόους.

κε'. εἰ βροντήσῃ, ἀνάπαυλαν καὶ ὕφεσιν τῶν κακῶν B
ἐλπιστέον.

1 ταραχαὶ *P* ‖ 2 δηλοῖ om. *P* ‖ 10 πολλῶν *P* ‖ 16 τις delet Hercher: sed cf. p. 106, 27 ‖ 20 εὐχῶν] εὔχεσθαι *P* ‖ 22 σημαίνει] δηλοῖ *P* ‖ 23 ἀνομβρίαν (ἀ rubr.) *P* | καρποφθόρον coni. Rutgers ‖ 24 ἀτιμίας *P* ‖ 26 ὕφεσιν etiam *P*

κϛʹ. εἰ βροντήσῃ, καλὸν τοῖς περὶ γεωργίαν ἔχουσιν.

κζʹ. εἰ βροντήσῃ, διοσημεία ἔσται καὶ κομήτης ἐξαφθήσεται.

κηʹ. εἰ βροντήσῃ, ὡσαύτως ἔσται.

κθʹ. εἰ βροντήσῃ, πόλεμον ἀρκτῷον σημαίνει, ἀλλ 5 ἀκίνδυνον τοῖς πράγμασιν.

C λʹ. εἰ βροντήσῃ, τὰ φυτὰ τῷ ἀνέμῳ συντριβήσεται.

Ταύτην τὴν ἐφήμερον βροντοσκοπίαν ὁ Νιγίδιος οὐ καθολικὴν ἀλλὰ μόνης εἶναι τῆς Ῥώμης ἔκρινεν.

---

156 332

ΒΡΟΝΤΟΣΚΟΠΙΑ

ΕΚ ΤΩΝ ΦΟΝΤΗΙΟΥ ΤΟΥ ΡΩΜΑΙΟΥ 11

ΚΑΘ' ΕΡΜΗΝΕΙΑΝ ΠΡΟΣ ΛΕΞΙΝ

A 39. Σελήνης ἐχούσης τὸν αἰγόκερων εἰ ἐν ἡμέρᾳ βροντὴ γένηται, τύραννον ἐπαναστήσεσθαι ἀπειλεῖ τοῖς ἀπὸ τῆς στενῆς θαλάσσης ἄχρι Νείλου χω- 15 ρίοις, ἐκπεσεῖν δὲ ὅμως αὐτὸν τῆς ἐγχειρήσεως. οὐχ ἥκιστα δὲ καὶ τῶν ἐπιτηδείων ἔσται ἐλάττωσις. ὑποστήσει δὲ καὶ ὁ Νεῖλος, καὶ διχόνοια ἔσται τέκνοις πρὸς γονεῖς, καὶ ταραχαὶ τῶν ἀρχόντων ἐνίοις. Πέρ-

2 διοσημεῖα *CP*: διοσημία coni. Hercher ‖ 2. 3 διοσημεία — ἐξαφθήσεται] *C* iterat id quod ad κϛʹ legitur ‖ 7 τῷ ἀνέμῳ *P* ex τῶν ἀνέμων correct. habet; τῶν ἀνέμων *C* ‖ 8. 9 haec pugnant cum p. 69, 22 et 70, 15 ‖ 10 Fontei tonitruale reperitur etiam in *P* fol. 185 rect. et *R* fol. 70 vers., in *P* sequitur statim post cap. 26 omittiturque inscriptio generalis, quae hic v. 10—12 legitur, quam librarius iam supra (v. cap. 23) posuerat, sed inscribitur tantum περὶ βροντῶν ἀπὸ σελήνης ‖ 11 Φοντηίου corr. Schmitz in nov. mus. Rhen. XI p. 299 pro Φωντηίου ‖ 13 ante σελήνης *P* rubr. add. τῆς et sic semper ‖ 17 καὶ τῶν] ἢ τῶν *C*, καὶ ἢ τῶν *P*

σαι δὲ καὶ οἱ τῆς Εὐρώπης τὸ δυτικὸν ἔχοντες ἠρεμήσουσιν. εἰ δὲ νυκτός, ἔθνη βάρβαρα κατ' ἀλλήλων ἐξενεχθήσεται, καὶ δογμάτων ἕνεκα τὰ τῆς Ῥωμαϊκῆς B εἰρήνης σαλευθήσεται, καὶ τόπους δέ τινας τοῦ πολι-
5 τεύματος πολέμιοι πρὸς βραχὺ καθέξουσιν. ἄρχοντες ἐκ τῶν δυτικῶν ὁρμώμενοι ἡγήσονται παρανόμως τῶν κοινῶν. δυσδαίμονες δὲ ἔσονται οἱ τῶν ἀνθρώπων πλείους, καὶ χειμῶνες πικροί, καὶ ναυάγια, καὶ σάλοι σφαλεροί.

10 Σελήνης ⟨ἐν⟩ ὑδροχόῳ οὔσης εἰ ἐν ἡμέρᾳ βροντήσῃ, κλεινῶν ἀνθρώπων καταλύσεις ⟨δηλοῖ⟩ ἐμ- C πρησμούς τε βαρεῖς. καὶ ὁ μὲν ἄμητος ἱλαρός, ἀκρίσι δὲ καὶ θηρίοις ἐκβρωθήσεται, ἡ δὲ σταφυλὴ σφηξί.
333 καὶ τὸ πάντων σχετλιώτερον, φάσματα τοῖς σώμασιν
15 ἐνοχλήσει μετὰ νόσων, καὶ τῶν ὑδάτων διαμαρτήσει τὸ νόστιμον. καὶ οἱ μὲν ἐλάττονες τὰς τύχας ἐπὶ τὸ 158A βέλτιον ἀνασπασθήσονται, οἱ δὲ μείζους ἐπὶ τὸ χεῖρον ἐκπεσοῦνται. ἀμετρία τε τῶν νόμων τὴν εἰρήνην ταράξει, καὶ ἐθνικῶν ἔσται ἐπὶ τῆς πολιτείας πάροδος.
20 εἰ δὲ νυκτὸς βροντήσῃ, ἀπολεγέτω μὲν τῇ εἰρήνῃ τὸ δυτικόν, ὁ δὲ ἄμητος τῆς Ἀσίας εὐκταιότατος, καὶ οἱ ἄρχοντες παρὰ τὸ κρατοῦν ἐν αὐτοῖς οὐ σφόδρα τοὺς ὑπηκόους λυπήσουσι.

Σελήνης ⟨ἐν⟩ ἰχθύσιν οὔσης ἐὰν βροντὴ ἐν B
25 ἡμέρᾳ γένηται, ὑδάτων ἐπίδοσιν δηλοῖ οὐ ποταμίων

6 δυτικῶν] ναυτικῶν *PR* ‖ **10** ⟨ἐν⟩ addidi hic et infra semper ante zodiaci signorum nomina: vide supra adn. ad p. 48, 6 | οὔσης om. *P* ‖ **11** δηλοῖ addidi ‖ **13** ἐκβρωθήσεται scripsi: εὐδοθήσεται *C*, ἐκδοθήσεται *PR* | σφιγξί libri: corr. Hercher ‖ **14** σχετλιώτατον coni. Hercher coll. p. 98, 5; sed cf. p. 104, 23; 105, 12 ‖ **17** ἀνασπασθήσονται *C*, ἁρπασθήσονται *PR* ‖ **22** παρὰ] ἄρα *C* ‖ **24** οὔσης om. *P* | εἰ ἐν ἡμέρᾳ βροντήσῃ *P*

μόνον ἀλλὰ καὶ θαλαττίων, ἀχλύν τε τῷ ἀέρι, ἀλλὰ καὶ ἀφανισμὸν τοῖς ἰχθύσιν ἀπειλεῖ. τὰ δὲ θηρία πρὸς τὰς παγίδας αὐτομολήσει· φυτεύειν δ' ὅμως φυτὰ ἐπευκταῖον. καὶ νοσῶδες μὲν τὸ κατάστημα, οἱ δὲ ἄρχοντες ἀνωμάλως διακείσονται. εἰ δὲ νυκτὸς 5

C 40. Σελήνης οὔσης ⟨ἐν⟩ κριῷ ἐὰν βροντὴ γένηται ἐν ἡμέρᾳ, φυγὴν μὲν Ἀραβίοις, λοιμὸν δὲ Πέρσαις ἀπειλεῖ. εἰ δὲ νυκτί, Ἀσίαν καὶ Εὐρώπην ταράξουσι πολέμιοι, οἵ τε ναυτιλλόμενοι οὐκ ἔξω κινδύνων ἔσονται. καὶ ἀφθονία μὲν τῶν καρπῶν ἔσται, δυνα- 10 τοῦ δὲ προσώπου πτῶσις· καὶ τὰ κοινὰ ἐγγὺς εὐθηνίας ἔσται.

Σελήνης οὔσης ⟨ἐν⟩ ταύρῳ εἰ ἐν ἡμέρᾳ βροντήσῃ, ἐπομβρίαν δηλοῖ καὶ χαλαζώδη τὸν ἀέρα, καὶ D ποταμῶν προχεύματα. καὶ ὁ μὲν ἰχθὺς ἄφθονος, οἱ 15 δὲ περὶ τοὺς θαλαττίους πόρους ἀγρυπνοῦντες λυπη- 331 ρότατοι. καὶ ὁ μὲν ἄμητος ἀγαθός, τοῖς δὲ κτήνεσι λοιμός. εἰ δὲ νύκτωρ, καρπῶν μὲν ἔνδειαν, ὑετῶδες δὲ καὶ χαλαζῶδες τὸ θερινὸν κατάστημα. ἄμβλωσίς 160 A τε γυναικῶν συμβήσεται, καὶ τὸ νόστιμον ὕδωρ ἐπι- 20 λείψει· καὶ κινήσεις μὲν στρατευμάτων λυπηραί, τῇ δὲ ἀνατολῇ τύραννος οὐκ εὐτυχὴς ἐνοχλήσει.

Σελήνης οὔσης ⟨ἐν⟩ διδύμοις εἰ ἐν ἡμέρᾳ βροντήσῃ, θεοσεβέστατα ἔσται τὰ κοινά· εἰ δὲ ἐν νυκτί, τὰ ἐναντία. 25

Σελήνης οὔσης ⟨ἐν⟩ καρκίνῳ εἰ ἐν ἡμέρᾳ

5 *εἰ δὲ νυκτὸς*] add. *P* et duorum versuum spatium relinquit; ceteri omitt. ‖ 6 *οὔσης—γένηται*] *ἐὰν βροντήσῃ P* ‖ 9 *πόλεμον P*, *πόλεμοι R* ‖ 13 *οὔσης*] *ἐν P* ‖ 15 *παροχεύματα* libri: corr. Hercher ‖ 23 *οὔσης*] *ἐν P* ‖ 24. 25 *εἰ δὲ νυκτί, τοὐναντίον P* ‖ 26 *οὔσης*] *ἐν P*

βροντὴ γένηται καὶ νεκρὰ συμβαίη, ταραχαὶ τοῖς κοινοῖς πράγμασιν ἔσονται καινοτομίαι τε τοῖς πράγμασιν ἐπὶ τὸ χεῖρον· οἱ δὲ καρποὶ ψεύσονται. ἀλλὰ B μὴν καὶ ἡ θάλασσα τοῖς ναυτιλλομένοις ὀλεθρία ἔσται, 5 καὶ φθορὰ μὲν ἀνθρώπων, ἀφθονία δὲ ἰχθύων. εἰ δὲ ἐν νυκτί, Αἰθίοψι καὶ Πέρσαις ὄλεθρος ἐνσκήψει· τὰ δὲ δυτικὰ οὕτως λιμώξει, ὡς καὶ εἰς Αἴγυπτον δι' ἔνδειαν καταφυγεῖν.

Σελήνης οὔσης ⟨ἐν⟩ λέοντι ἐὰν βροντὴν ἐν 10 ἡμέρᾳ γενέσθαι συμβαίη, δόλον κατὰ τῆς βασιλείας μελετᾶσθαι δηλοῖ. καινισμοί τε νόσων ἔσονται, καὶ θάνατοι τοῦ πλήθους ἐκ τιμωριῶν. καὶ ὁ μὲν ἄμητος C ἄφθονος ἔσται, ὑπὸ δὲ πολεμίων διαρπαγήσεται, καὶ διαφερόντως κατὰ τὸ δυτικόν. κατισχύσουσί τε καὶ 15 ἀδικήσουσιν οἱ ὑπερέχοντες τὸ ὑπήκοον. εἰ δὲ νυκτός, καὶ οὕτως ἡ βασιλεία ἐπιβουλευθήσεται, καὶ μέρος 335 τῆς ἀνατολῆς ὑπὸ βαρβάροις τελέσει. κατόμβρισις δὲ τοῖς ὑγροῖς καρποῖς λυμανεῖται. ἐπισυρήσονται δὲ τοῖς κτήνεσιν ἑρπετὰ θανατηφόρα· δυνατοὶ δὲ τῆς 20 πολιτείας πεσοῦνται.

41. Σελήνης οὔσης ⟨ἐν⟩ παρθένῳ εἰ ἐν ἡμέρᾳ D βροντήσῃ, ὑγρότερον ἔσται τὸ τοῦ ἀέρος κατάστημα, ἀφθονία δὲ τῶν ξηρῶν καρπῶν, ὡς ἠρέμα πως ἐπιρρεπεστέρους γενέσθαι τοὺς ἀνθρώπους ἐπὶ τὰ πταί- 162 A 25 σματα. ἔσται δὲ καὶ φθορὰ τοῦ γυναικείου ἔθνους.

1 βροντὴ γένηται] βροντήσῃ *P* | καὶ νεκρὰ συμβαίη] om. *PR*; ego non intellego ‖ **6** δὲ νυκτὶ *CP* ‖ **8** καταφυγεῖν] sic *P*, καταφυγὴν *C*, φυγεῖν *R* ‖ **9** οὔσης] ἐν *P* et sic semper ‖ **9. 10** ἐὰν βροντήσῃ, δόλον *P* ‖ **11** pro νόσων coni. νόμων H. | ἔσονται om. *C* ‖ **13** διαρπαγήσονται libri: corr. Hercher ‖ **17** κατόμβρησις malit Hercher ‖ **18** post δὲ add. καὶ *R* ‖ **22** βροντήσῃ transponit *P* ante ἐν ἡμέρᾳ

εἰ δὲ νυκτός, λοιμὸς ἐνσκήψει τοῖς δυτικοῖς· τὰ δὲ θηρία οὕτως ἐπελεύσεται τοῖς ἀνθρώποις, ὡς φωλεοῖς αὐτοὺς ἐγκατακρύπτεσθαι· καὶ δυνατῶν δὲ ἀνδρῶν ἔσται πτῶσις, καὶ ἔνδεια ξηρῶν καρπῶν.

Σελήνης οὔσης ⟨ἐν⟩ ζυγῷ εἰ ἐν ἡμέρᾳ βροντήσῃ, ἀγαθὰ ἐκδεχέσθωσαν ἄνθρωποι, ἐξῃρημένων Αἰγυπτίων. εἰ δὲ νυκτός, ἡ μὲν νεολαία ἐν ὅπλοις τελέσει καὶ ἐν πολέμοις φθαρήσεται, ἀφθονία γε μὴν τῶν καρπῶν ἔσται, ὑπὸ δὲ βαρβάρων δαπανηθήσεται.

Σελήνης οὔσης ⟨ἐν⟩ σκορπίῳ ἐὰν ἐν ἡμέρᾳ βροντὴν ἢ ἀστραπὴν γενέσθαι συμβαίη, Ἀράβιοι ταραχθήσονται, ἔνδεια δὲ τῶν καρπῶν ἔσται, καὶ οἱ ἄνθρωποι κατ᾽ ἀλλήλων χωρήσουσιν· Ἀσσυρία γε μὴν πιεσθήσεται λιμῷ. εἰ δὲ νυκτός, πυρκαϊαὶ μὲν ἔσονται, πτώσεις δὲ πόλεων παραλίων καὶ διαφθορὰ καρπῶν καὶ τετραπόδων, θηρίων δὲ παντοίων ἐπιδρομή· ὅθεν εὔχεσθαι δεῖ, ὅπως μὴ καὶ κεραυνῶν ἐνσκήψεσιν ἀναλωθῶσι.

Σελήνης οὔσης ⟨ἐν⟩ τοξότῃ ἐὰν ἐν ἡμέρᾳ βροντήσῃ, Πέρσαις ἀφανισμὸν ἀπειλεῖ, καὶ ὁ βασιλεὺς δὲ αὐτῶν δολοφονηθήσεται, εὐκαρπία δὲ ἔσται καὶ χειμῶνες εὔδιοι ἔσονται, ⟨καὶ⟩ φθορὰ μὲν ἀνθρώπων, ἀνδραποδισμοὶ δὲ πόλεων. εἰ δὲ ἐν νυκτί, ἐπομβρίαν δηλοῖ, καὶ κάματον δὲ τοῖς ἐγκύμοσι καὶ νόσους καὶ θανάτους αἰφνιδίους, ὡς περιττεύειν μὲν τοὺς καρπούς, ἀπολείπεσθαι δὲ τοὺς δαπανῶντας. ἔσονται δὲ σάλοι καὶ ἄνεμοι βίαιοι, καὶ ἀφανισθήσεται ἀνὴρ δυνατὸς καὶ βαρὺς τοῖς πράγμασιν.

5 βροντήσῃ transponit *P* ante ἐν ἡμέρᾳ ‖ **10** εἰ βροντήσῃ ἐν ἡμέρᾳ ἢ *P* ‖ **14** λοιμῷ *C* ‖ **18** ἀναλωθήσονται *P* ‖ **19** ἐὰν] εἰ *P* ‖ **22** καὶ add. Hercher ‖ **23** ἐν om. *P*

ΚΑΘΟΛΙΚΗ ΕΠΙΤΗΡΗΣΙΣ ΠΡΟΣ ΣΕΛΗΝΗΝ 164

ΑΠΟ ΤΗΣ ΘΕΡΙΝΗΣ ΤΡΟΡΗΣ

ΕΚ ΤΩΝ ΛΑΒΕΩΝΟΣ

5 ### ΚΑΘ' ΕΡΜΗΝΕΙΑΝ ΠΡΟΣ ΛΕΞΙΝ

42. *Εἰ κατὰ τὴν ἑνδεκάτην τοῦ καρκίνου μοῖραν* A *σελήνη εἴη ⟨ἐν⟩ κριῷ, ἔσονται ἀχλύες καὶ βρονταὶ καὶ χάλαζαι, ταραχαὶ δὲ τοῖς δένδροις ἐκ βιαιοτέρων πνευμάτων, καὶ ζάλη ἀερία, τίμιοί τε οἱ καρποί, καὶ* 10 *αὐχμηρὸν τὸ περιέχον ἐκ λοιμικῆς θερμασίας.*

Εἰ δὲ ⟨ἐν⟩ ταύρῳ, ἔνδεια μὲν ἔσται τῶν ἐπιτη- 337 *δείων, ἐλαίου δὲ διαφερόντως, τὰ μέντοι σταθμῷ ἀποδιδόμενα εὐτελῆ ἔσται.* B

⟨Ἐν⟩ διδύμοις γε μὴν οὔσης τῆς σελήνης ἐπὶ τῆς 15 *θερινῆς τροπῆς ἀμφίβολος ἔσται ὁ ἐνιαυτός· ἡγήσεται μὲν γὰρ ὑγρότης, ἕψεται δὲ ξηρότης, καὶ ὁ μὲν σῖτος ἐλάσσων, κρείττων δὲ ὁ οἶνος, καὶ οὐχ ἥκιστα τὸ ἔλαιον ἀφθονώτατα διαρκέσει.*

⟨Ἐν⟩ καρκίνῳ δὲ οὔσης σελήνης ἐπὶ τῆς θερινῆς 20 *τροπῆς, ὡς προϋποδέδεικται* (p. 62, 12), *εὔφορος ὁ ἐνιαυτὸς ἔσται περὶ πάντας τοὺς καρπούς, ξηρούς τε καὶ ὑγρούς· εἰκότως οὖν εὐθηνίαν προσδοκητέον.*

Εἰ δὲ ἐπὶ τοῦ λέοντος σελήνης οὔσης ἡ θερινὴ C *συνέλθοι τροπή, βροντώδη καὶ θυελλώδη ἄν τις ἐκ-* 25 *δέξαιτο τὸν ἀέρα· νεφώδης γὰρ ἔσται καὶ ἀχλυώδης,*

1 Labeonis dissertatio extat etiam in *R* fol. 71 et *F* fol. 153 | titulum constitui; in libris legitur *καθολικὴ ἐπιτήρησις πρὸς σελήνην περὶ κεραυνῶν* (qui nusquam commemorantur) *καὶ ἄλλων καταστημάτων ἐκ τῶν Λαβεῶνος καθ' ἑρμηνείαν πρὸς λέξιν, ἀπὸ τῆς θερινῆς τροπῆς* ‖ 6 *ἑνδεκάτην*] *ᾱ* *F* ‖ 7 *σελήνη*] *καὶ* *C* ‖ 9 *πνευμάτων*] *ἀνέμων* *R* ‖ 20 *εὔφρονος* *C* ‖ 24 *θελλώδη* *C* ‖ 24. 25 *ἐκδέξοιτο* *CF*

ὡς περιττευούσης τῆς ἐξ ὑπερῴων ὑγρασίας τοὺς μὲν ξηροὺς καρποὺς ἐλαττωθῆναι, τοὺς δὲ ὑγροὺς ἐπιδοῦναι.

166A Ὅταν δὲ ἐπὶ τῆς θερινῆς τροπῆς σελήνη τὴν παρθένον ἔχῃ, στεῖρος μὲν καὶ ἐγγὺς ἄκαρπος ὁ ἐνιαυ- 5 τός, ἐκ δὲ ἀδοκήτου περί τε τοὺς ξηροὺς καρποὺς καὶ ὑγροὺς ἔσται τις παραψυχή.

⟨Ἐν⟩ ζυγῷ οὖσα σελήνη εἰ τὴν θερινὴν καταλάβοι τροπήν, εὔφορον μὲν καὶ αὐτάρκη τὸν ἐνιαυτὸν ἐμφαίνει περὶ τοὺς ξηροὺς καρπούς, ὑγρὸν δὲ ὅμως 10 B καὶ ἔπομβρον· καὶ τὰ σταθμῷ διδόμενα τίμια ἔσται, τὸ δὲ ἔλαιον σὺν καὶ τῷ οἴνῳ ἔσται τιμιώτατον.

⟨Ἐν⟩ σκορπίῳ σελήνης ἐπὶ τῆς μὲν θερινῆς τροπῆς τυγχανούσης ξηρὸς καὶ ὄψιμος ὁ ἐνιαυτὸς ἐπὶ τοῖς καρποῖς ἔσται, χαλαζώδης δὲ οὐχ ἥκιστα καὶ 15 ταρακτικός· ὅ γε μὴν σπόρος, καὶ εἴ τι ὑπὸ γῆν, ἔξω ἐλπίδος· λιμὸς οὖν ἔσται πάντως καὶ φθορὰ τῶν ἀνθρώπων.

Τοξότην ἐχούσης σελήνης ἐπὶ τῆς τοῦ θερινοῦ κέντρου τροπῆς, πλημμύρα ἔσται ὑδάτων ἀτμοί τε καὶ 338 C χαλαζώδεις ὄμβροι, καὶ φθορὰ τῶν πτηνῶν, καὶ ναυ- 21 άγια οὐ μικρά, καὶ ἐλαττώσεις μὲν τῶν ὑγρῶν καρπῶν, ἀφθονία δὲ τῶν ξηρῶν.

Ὅταν γε μὴν τὸν αἰγόκερων ἔχῃ σελήνη ἐπὶ τῆς ἐν θέρει τροπῆς, οὕτως ἐπομβρήσει ὁ ἀὴρ ὡς ἐμποδὼν 25

5 ἔχοι libri | ἀκαρπίας F ‖ 7 παραψυχὴ] παρατροπὴ F ‖ 8 οὖσα ἡ σελήνη F, οὔσης σελήνης ceteri ‖ 9. 10 εὔφορος μὲν καὶ αὐτάρκης ἔσται ὁ ἐνιαυτὸς περὶ F ‖ 10 ὑγρὸς F ‖ 11 ἔπομβρος F | post τίμια ἔσται R add. πάνυ ‖ 12 ἔσται om. F | τιμιώτατα CR ‖ 13 post σελήνης F add. οὔσης | μὲν θερινῆς] ἐν θέρει F ‖ 15 ζαλαζώδης C ‖ 17 τῶν om. F ‖ 24 τὸν om. F ‖ 25 ἐπομβρίσει F | ἐμποτίδ' F

γενέσθαι τῇ συναγωγῇ τῶν καρπῶν καὶ μεταμελῆσαι τοῖς γεωργοῖς τῆς ἐπὶ τῷ σπόρῳ σπουδῆς· ἐκ παραδόξου δὲ οἱονεὶ τῆς προνοίας οἴνου μὲν καὶ ἐλαίου ἀφθονία, ἥκιστα δὲ λοιμῶδες τὸ τοῦ ἀέρος κατάστημα.
5 Τῷ δ' ὑδροχόῳ ἢ τοῖς ἰχθύσιν ἐνδιατριβούσης D σελήνης τὰ αὐτὰ μὲν ἔσται σχεδὸν περὶ τὴν τῶν καρπῶν ἐκδοχήν, ἐλάττους δὲ ἔσονται οἱ ἰχθύες πρὸς αὐτούς, καὶ διαφερόντως οἱ ποτάμιοι καὶ ὅσοι θαλάσσης ἔξω μειωθήσονται.

10 ## ΠΕΡΙ ΚΕΡΑΥΝΩΝ 168 A

43. Τὰς φύσεις τῶν πραγμάτων λέγειν, καὶ ὅπως γίνεσθαι κεραυνοὺς ἡ παλαιότης ὑπολαμβάνει, τοῖς ἀρχαιοτέροις ἀποχρώντως τῆς περὶ τῶν τοιούτων θεωρίας διαληφθείσης οὐ τούτου καιρός, οὐδὲ τὸ
15 ἐπάγγελμα τουτὶ προύθηκεν, ἀλλ' ὅπως κατὰ τὴν Θούσκων παράδοσιν ἐπιγνωσθεῖεν οἱ κεραυνοί, τί B ἄρα παραδηλοῦσιν ἐκπίπτοντες. ἐν τούτοις μὲν εἰδέναι χρὴ ὡς οὐ κατὰ πάντα τὸν ἐνιαυτὸν κεραυνοὶ ἀποθλίβονται· οὐδὲ γὰρ ἐπὶ θέρους ἢ ἐπὶ χειμῶνος
20 τοῦτο συμβαίνειν πέφυκε καθόλου, ἀλλ' ἐν ἦρι ἢ

3 δὲ ante οἱονεὶ om. *F* | οἶνος *F* ‖ 5 ἢ] ἤτοι *CR* ‖ 6 τὰ αὐτὰ] ταῦτα *F* ‖ 7 δὲ corr. Hercher pro γὰρ | οἱ om. *F* ‖ 8 αὐτούς scripsi pro αὐτοῖς ‖ 9 ἔξω μειωθήσονται] sic *F*, εξωμιωθησονται *C*, ἔξω μαιωθήσονται *R* ‖ 10 c. 43—52 reperitur etiam in *V* et *L* fol. 16 v. ‖ 11 τὰς φύσεις] τὸ τῆς φύσεως *L* | ὅπως] οὕτως *C* ‖ 12 ὑπολαμβάνειν *C* | post ὑπολαμβάνει *L* add. περιττὸν ‖ 13 ἀρχαίοις *CL* | τῶν τοιούτων] τούτων *L* ‖ 14 οὐ] οὐδὲν γὰρ *L* | οὐδὲ — προύθηκεν] om. *L* ‖ 17 προδηλοῦσιν *L* ‖ 18 οὐ κατὰ πάντα] οὐκ ἅπαντα *C*, οὐκ ἀνὰ πάντα coni. Bekker ‖ 19—20 Plin. II 135 *hieme et aestate rara fulmina* ‖ 19 ἐν θέρει ἢ χειμῶνι *L* | ἢ ἐπὶ] οὐδὲ ἐπὶ *CV* ‖ 20 πέφυκε συμβαίνειν *L* | Plin. II 136 *vere autem et autumno crebriora fulmina*; cf. Arrhian. ap. Stobaeum ecl. phys. I 29, 2 p. 238, 5 W. πλεῖστοι δὲ ἦρος καὶ μετοπώρου . . περί τε πλειάδος καὶ ἀρκτούρου ἐπι-

μετοπώρῳ, περὶ τὴν πλειάδος καὶ ἀρκτούρου ἐπιτολήν. ὅθεν οὔτε ἐν Σκυθίᾳ ἢ συνελόντι εἰπεῖν ἐπὶ τὸ ἀρκτῷον κέντρον κεραυνοὺς βάλλεσθαι, ⟨οὔτε ἐν Αἰ-
C γύπτῳ⟩ ἤγουν ἐπὶ τὸ νότιον, κέκριται, διὰ τὸ ψυχρὸν καὶ θερμὸν τοῦ κατὰ τοὺς χώρους ἐκείνους καταστή- 5 ματος. ἐπὶ δὲ τῆς Ἰταλίας ὡς μάλιστα· εὔκρατος γὰρ σχεδὸν παρὰ πᾶν χωρίον ὁ κατ' ἐκείνην ἀήρ, ἀπὸ μὲν ἄρκτου πλευρᾶς ἑκατέρας τῷ βορρᾷ ἰάπυγί τε κώρῳ τε ἐξ Ἄλπεων καταπνεομένης πάσης τῆς ὑποκειμένης τῷ Ἀπεννίνῳ βαθείας, ἀπὸ δὲ τοῦ πρὸς λίβα νεύματος 10 τῷ νότῳ, καὶ νότῳ οὐ τῷ ξηρῷ καὶ βαρεῖ ἀλλὰ τῷ
D γονιμωτάτῳ πάντων, οἷον εἶναι τοῦτον ἡ παρήκουσα πρὸς Γάδειρα ἐπὶ τὸ Ἀτλαντικὸν μεγάλη παρασκευάζει θάλασσα, κιρνῶσα ταῖς ψυχραῖς ἀναθυμιάσεσι τὴν ἀτμώδη καὶ λοιμικὴν τοῦ μεσημβρινοῦ νότου θερμό- 15
170A τητα. καὶ τὸ δὴ πάντων τῇ χώρᾳ τῆς εὐκρασίας αἰτιώτατον, ἄνωθεν τῷ Ἰονίῳ, κάτωθεν δὲ τῷ Τυρσηνικῷ παρακλύζεται πελάγει. ὅθεν δίς τε τὰ θρέμματα τοῦ ἔτους ἀπογεννᾶν πέφυκε, τυρός τε οὐ λείπει „οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρῃ.“ τοιαῦτα μὲν ἄν τις 20 περὶ Ἰταλίας εἴποι.

τολήν. | ἐν] ἐπὶ *L* ‖ **1** τὴν] τῆς *L* ‖ **2—5** Plin. II 135 *quae ratio inmunem Scythiam et circa rigentia a fulminum casu praestat, e diverso nimius ardor Aegyptum;* cf. Arrhian. l. s. p. 238, 9 sq. ‖ **2** οὔτε scripsi pro οὐδὲ | συνελόντα libri: corr. H. ‖ **3** κεραυνὸς βάλλεται *L* | οὔτε ἐν Αἰγύπτῳ addidi coll. p. 107, 4 ‖ **4** κέκριται om. *L* ‖ **5** τοῦ om. *L* | **5. 6** κατάστημα *L* ‖ **6—7** Plin. II 136 *qua ratione crebra in Italia, quia mobilior aer mitiore hieme et aestate nimbosa semper quodammodo vernat vel autumnat* ‖ **7** ἀπὸ μὲν ἄρκτου — πελάγει (18) om. *L* ‖ **8** ἄρκτου scripsi pro νότου | κώρῳ τε corr. H., χώρω δὲ *C*, χώρα καὶ *V* ‖ **12** τοῦτον pro τοιοῦτον corr. H. ‖ **15** an μαλακὴν? ‖ **18** post τὰ add. *L* ἐν αὐτῇ ‖ **19** τοῦ ἔτους om. *L* | ὑπογεννᾶν *L* | τυρός τε corr. H. pro τυρὸς δὲ ‖ **20** „οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρῃ“ sunt verba Homeri μ 76 | τοιαῦτα — εἴποι (21) om. *L*

44. *Διάφορος δὲ καὶ οὐ μονοειδὴς ἡ τῶν κεραυνῶν φύσις. τοὺς μὲν γὰρ ψολόεντας ἡ παλαιότης* B *καλεῖ, τοὺς δὲ ἀργῆτας, σκηπτούς τε καὶ πρηστῆρας. οὐδὲ γὰρ πάντες ταὐτὸ πράττουσιν. εἰσὶ δὲ οἳ*
5 *καὶ ἀναστρέφουσι πρὸς τὰς ῥήξεις τῶν νεφῶν, ὅθεν καὶ ἐξεθλίβησαν. καὶ οἱ μὲν διάπυροι πρηστῆρες,*
340 *οἱ δὲ μὴ πυρώδεις τυφῶνες, οἱ δ' ἔτι μᾶλλον ἀνειμένοι ἐκνεφίαι. αἰγίδες γε μὴν λέγονται οἱ ἐν συστροφῇ ἀέρος φερόμενοι. ταύτῃ αἰγίδα Διὶ περι-*
10 *τίθησιν ὁ λόγος, οἱονεὶ τὸν ἀέρα καταιγίδος καὶ συσσεισμοῦ αἴτιον παραινιττόμενος. εἰσὶ δὲ καὶ ἕτερα* C *σχήματα κεραυνῶν· ἑλικίας αὐτοὺς τὰ βιβλία καλεῖ, ὅτι ἑλικοειδῆ γραμμὴν ἐν τῷ καταφέρεσθαι παραδεικνῦσιν.*

15 *Ἔστι δὲ θαυμάσαι κἀν τούτῳ τὴν φύσιν καὶ τὸ ἄβατον τῶν ἐν αὐτῇ θεωρημάτων. οὐδὲ γὰρ πάντες (καίτοι πάντες ἐξ ἀέρος καὶ συστροφῆς νεφῶν φερόμενοι) τὰ αὐτὰ ἀλλήλοις δρῶσιν. ὁ γὰρ ἐν αὐτοῖς λεγόμενος ἀργής, ὃν καὶ λαμπρὸν ἐξαιρέτως καλοῦσιν*
20 *οἱ ἀρχαῖοι, πολλάκις ἐμπεσὼν ἐπὶ πίθον ἢ ἄγγος* D

1—14 similia narrat Lydus de mensib. III 52 et IIII 96: cf. Aristotel. meteor. III 1, 9 sq. et quos laudat in commentar. ad l. s. Ideler vol. II p. 259 sq., praeterea Plin. II 133. 134; Apulei. de mundo cap. 12 et 15 ‖ **1** *καὶ* om. *C* ‖ **6. 7** Arrhian. l. s. p. 235, 13 *διάπυροι μὲν κεραυνοί· ἀθρόοι δὲ καὶ ἡμίπυροι πρηστῆρες· ὅσοι δὲ ἔρημοι πυρὸς τυφῶνες· οἱ δὲ ἔτι ἀνειμένοι* (quam scripturam tuetur ipsius Lydi comparatio) *ἐκνεφίαι.* ‖ **6** *εἰ μὲν L* ‖ **7** *μὴ* om. *L* ‖ **8—14** cf. Arrhian. l. s. p. 237, 8 *αἰγίδες ὅσοι ἐν συστροφῇ πυρὸς* (*ἀέρος* Meineke) *καταφέρονται, ἕλικες δὲ ὅσοι ἐς ἑλικοειδῆ γραμμὴν διάττουσιν.* ‖ **8** *γε*] *δὲ L* ‖ **9** *ἀέρος* scripsi pro *πυρὸς* | *ταύτῃ—παραινιττόμενος* (11)] om. *L* ‖ **11** *παραινιττόμενοι C* ‖ **17** *φερόμενοι*] *στρεφόμενοι C* ‖ **18—p. 98, 2** Plin. II 137 *tertium est quod clarum vocant mirificae maxime naturae, quo dolia exhauriuntur intactis operimentis*; cf. Arrhian. l. s. p. 237, 22 W.

ἁπλῶς ἢ οἴνου ἢ ὕδατος, τὸ μὲν περιέχον ἀπήμαντον τὸ δὲ ἐμπεριεχόμενον ἄφαντον ἐποίησεν. οὐχ ἥκιστα δὲ καὶ ἐν σκεύεσι χρυσίον ἢ ἀργύριον φέρουσιν ἐμ-
172A πεσὼν τῷ ἴσῳ τρόπῳ τὰ μὲν ἔνδον ἔτηξε, τὰ δὲ ἔξωθεν ἔσωσε. καὶ τὸ δὴ πάντων θαυμασιώτατον ἐπὶ 5 γυναικὸς ἐγκύμονος συμβῆναί φησιν ὁ μέγας Ἀπουλήιος, καὶ γυναικὸς οὐκ ἠγνοημένης, Μαρκίας δὴ ἐκείνης τῆς Κάτωνι τῷ τελευταίῳ συνοικησάσης. ἐμπεσὼν γὰρ αὐτῇ κεραυνὸς ὁ λεγόμενος ἀργὴς ἤτοι λαμπρὸς αὐτὴν μὲν παντελῶς ἐφύλαξεν ἀβλαβῆ, τὸ δὲ 10
B ἐν αὐτῇ διεφόρησεν οὕτως ἀνεπαισθήτως, ὡς μηδὲ αὐτὴν συνιδεῖν ὅ τι γέγονε τὸ ἐν αὐτῇ, καίτοι πρὸς ἔξοδον ἔχον. τοιαύτην μὲν κατ' ἐξαίρετον ἐνέργειαν ἡ τοῦ ἀργῆτος εἴληχε φύσις.

45. Γενικῶς δ' εἰπεῖν, ἀβλαβῶς φυλάττεται ἀπὸ 341 κεραυνῶν καὶ οὐδὲ βάλλεται τὴν ἀρχὴν ἐν μὲν φυτοῖς 16 δάφνη καὶ συκῇ· καὶ γὰρ ἡλίου ταῦτα. ὅθεν καὶ

1 ἢ ante οἴνου om. *CL* | ἀπήμαντος *C* ‖ 2 περιεχόμενον *V* ‖ **3—5** Plin. l. s. *aurum et aes et argentum liquatur intus sacculis ipsis nullo modo ambustis ac ne confuso quidem signo cerae*, cf. Arrhian. l. s p. 237, 19 κυτίδος μὲν ξύλου μαλθακοῦ ἀψάμενοι διῇξαν, ἀπαθῆ ἀπολιπόντες· τὸ δὲ χρυσίον ἔτηξαν τὸ ἐνόν. ‖ 4 ἔνδοθεν *L* ‖ 5 ἐκτὸς *L* ‖ **5—13** Plin. l. s. *Marcia princeps Romanarum icta gravida partu exanimato ipsa citra ullum aliud incommodum vixit.* ‖ 5 τὸ δὴ] om. *L* | πάντως *L* | ante ἐπὶ add. καὶ *CV* | ἐπὶ — μέγας (6)] συμβῆναι ἐπὶ ἐγκυμονούσης γυναικὸς φησὶν *L*, qui saepe immutatis et praetermissis verbis epitomes speciem prae se fert ita ut discrepantias eius non afferam nisi ad rem facientes ‖ 6. 7 pro Ἀπουλήϊος perperam H. Πλίνιος suspicatur ‖ 7 δὴ scripsi pro δὲ ‖ 13 ἐνέργειαν om. *V* ‖ **15—p. 99, 8** eadem fere narrat Lydus de mensib. III 52 et IV 9 ‖ **15—17** Plin. II 146 *ex his quae terra gignuntur lauri fruticem non icit.* Plutarch. symp. V 9, 4 ὥς φασιν, οὐ κεραυνοῦται (ἡ συκῆ). cf. IIII 2, 5 et Geoponic. VII 11 et XI 2 ‖ 15 ἀβλαβῆ *L* ‖ **17—p. 99, 3** Plin. XV 134 (*laurus*) *grata Apollini visa .... quia manu satarum receptarumque in domos*

δάφνην φιλεῖν Ἀπόλλων μυθεύεται, οἷον ὁ ἥλιος· καὶ εἰς λέοντα μεταβαλλόμενος, ἀντὶ τοῦ εἰς πῦρ, οὐ C φθείρει τὴν δάφνην. ἐν δὲ πτηνοῖς ἀετός, ἐν δὲ ὑγροῖς φώκη· ὅθεν καὶ κεραυνοφόρος ὁ ἀετὸς καὶ
5 Διὸς εἶναι νενόμισται. ἡ δὲ φώκη ὡς ἀπήμαντος ἐπιβολῇ κεραυνοῦ, μάρτυς ἡ πεῖρα ἀποδέδωκε· τῶν γὰρ νεῶν τὰ ἱστία, ἐν αἷς οἱ βασιλεῖς πλέουσι, φωκείοις εἴθισται ἀποδιφθεροῦσθαι δέρμασιν. οὐ πλέον δὲ πέντε ποδῶν κατακρύπτεσθαι κεραυνὸς πέφυκεν εἰς
10 γῆν, ἐξωθούμενος ἄνωθεν· ὁ γὰρ ἀριθμὸς γηϊνώτατος.

Ἔστι δ᾽ ὅτε καὶ ὑπ᾽ αἰθρίῳ τῷ ἀέρι πίπτουσι D κεραυνοί· ὅπερ εἰ συμβαίη, οὐκέτι τὸν ἐπὶ τοῖς ζῳδίοις ἥλιον ἢ ἑτέραν γοῦν τῶν ἐγνωσμένων δέοι ἑρμηνείαν τοῦ ἐσομένου θηρᾶσθαι, ἀλλ᾽ αὐτόθεν ἀποφήνασθαι 174 A
15 ἀνατροπὴν μὲν τοῖς κοινοῖς, ἀπώλειαν δὲ τῷ παντελεῖ χωρίῳ, ἐν ᾧ τοιοῦτό τι συμβήσεται. Ἄλλην δὲ ἐκ τοῦ ἐναντίου ὁ Νιγίδιος ἐν τῇ τῶν Ὀνείρων ἐπισκέψει παραδίδωσιν ἐπὶ τοῖς κεραυνοῖς ἑρμηνείαν. φησὶ γὰρ

fulmine sola non icitur. 135. *laurus quidem manifesto abdicat ignes crepitu et quadam detestatione.* ‖ **3—4** Plin. II 146 *nec e volucribus (percutit fulmen) aquilam, quae ob hoc armigera huius teli fingitur.* ‖ **5—8** Plin. l. s. *pavidi .. tabernacula pellibus beluarum, quas vitulos appellant (tutissima putant), quoniam hoc solum animal ex marinis non percutiat.* cf. Nonnus de morb. curat. c. 260 p. 584 ταῦτα ἀποτρέπουσι κεραυνούς ... φώκης δέρμα ἢ ὑαίνης· τούτων δὲ τῶν ζῴων τὰς δορὰς περιφέρουσι (immo ταῖς δοραῖς περιδιφθεροῦσι) καὶ τὰ τῶν αὐτοκρατόρων πλοῖα. Plutarch. symp. III 2, 5 διαφεύγει τὸν κεραυνὸν ... ἡ συκῆ καὶ τὸ δέρμα τῆς φώκης, ὥς φασι καὶ τὸ τῆς ὑαίνης, οἷς τὰ ἄκρα τῶν ἱστίων οἱ ναυκληροὶ καταδιφθεροῦσιν. ‖ **5. 6** ἐπιβουλῇ *C* ‖ **7** ἐν οἷς *C* | φωκίοις ἤθισται *C* ‖ **8—10** Plin. l. s. *nec umquam quinque altius pedibus descendit in terram.* ‖ **9** κεραυνοὺς *C* ‖ **14** ἀποφήβασθαι *C*, ἀποφοιβάσαι coni. Bekker ‖ **17** est frg. LXXXII apud Swobodam p. 92 | ἐπισκίψει *C*

πᾶσι μὲν καθόλου ἀπευκταίαν εἶναι τὴν τῶν σκηπτῶν φοράν, κἂν εἰ μὴ τυχὸν βλάπτοιεν, τοῖς δ' ὄναρ τουτὶ B *πάσχειν φανταζομένοις αἰσιώτατον καὶ λαμπρᾶς τύχης προμάντευμα.*

46. *Ἄξιον δὲ ζητῆσαι τίνος χάριν ἐπὶ μὲν τῶν* 5 *ἄλλων διοσημειῶν τὴν σελήνην, ἐπὶ δὲ μόνων τῶν κεραυνῶν τὸν ἥλιον ἡ ἀρχαιότης ἐπετήρησεν. εἴρη-* 342 *ται τοίνυν πολλαχοῦ, ὡς πάσης τῆς ὁποιδήποτε τυγχανούσης θερμῆς φύσεως καὶ πυρὸς ταμίας καὶ αἴτιος ἥλιός ἐστι, καὶ διαφερόντως ἐκείνου τοῦ πυρὸς λέγω,* 10 *τοῦ κατ' ἐνέργειαν δραστικοῦ, καὶ ἐν ᾧ οὐδεμίαν ἡ* C *σελήνη μετουσίαν ἔχειν φαίνεται. τί γὰρ κεραυνοῦ δραστικώτερον ἢ πυρωδέστερον; ἐν ᾧ τοσαύτη τίς ἐστιν ἡ κατὰ φύσιν ὀξύτης, ὡς μηδὲ ἓν σῶμα παντελῶς ὑπομένειν αὐτόν· ὥστε ἐπειδὴ μὴ μόνον ἐστὶν* 15 *ὑγρότητος ἔξω, ἀλλὰ καὶ πάσης τῆς ὁπωσδήποτε ὑποπιπτούσης αὐτῷ φύσεως σκεδαστής, δῆλον ὅτι ἡ σελήνη ἀλλοτρία κεραυνῶν ἐστί. καὶ γὰρ ὑγρὰ τὴν φύσιν καὶ ἐπὶ τῆς ὑγρᾶς τεταγμένη ζώνης, εἰκότως τε* D *οὐ δυναμένη τὰ διὰ τῶν κεραυνῶν προλεγόμενα δη-* 20 *λῶσαι, ὥστε ἥλιος αἴτιος κεραυνῶν. ταύτῃ Ζεὺς ὁ αὐτὸς καὶ Ἥλιος τοῖς μυθικοῖς λέγεται, καὶ κεραυνὸν*

1 cf. Müller Etrusc. II p. 170 ‖ **6** *τῆς σελήνης* C ‖ **7—11** cf. Ptolem. tetrab. fol. 5 ‖ **8** *πολλαχοῦ* L, *πολλαχῶς* CV | *ὁπουδήποτε* coni. H. ‖ **9** *καὶ πυρὸς*] *κἂν πυρὸς* C ‖ **17** an *νεφώσεως*? ‖ **18** cf. Ptolem. tetrab. fol. 5 ‖ **19** *ὑγρῆς* C ‖ **20. 21** *δηλώσει* C ‖ **21—p. 101, 1** cf. Plin. II 82 *latet plerosque magna caeli adsectatione compertum a principibus doctrinae viris* (i. e. Babyloniis cf. II 191) *superiorum trium siderum ignes esse qui decidui ad terras fulminum nomen habeant, sed maxime ex his medio loco siti, fortassis quoniam contagium nimii umoris ex superiore circulo atque ardoris ex subiecto per hunc modum egerat, ideoque dictum Iovem fulmina iaculari.*

ἐπιφέρεται, καὶ ἀετὸς ὑπηρέτης αὐτῷ. καὶ ὅσα κατὰ φύσιν θερμά, καὶ ἡλίῳ προσφυῆ. ὀρθῶς οὖν τὸν ἥλιον οἱ ἀρχαῖοι, καὶ οὐ τὴν σελήνην, ἐπὶ τῆς τῶν 176 A κεραυνῶν θεωρίας ἐπετήρησαν. ἐκείνοις τοίνυν ἀκο- 5 λουθοῦντες τὰ εἰρημένα αὐτοῖς καθ' ἑρμηνείαν ἐροῦμεν.

LABEONIS LIBER FVLGVRALIS

47. Ἥλιος ⟨ἐν⟩ κριῷ. κεραυνὸς ἐνσκήπτων ἐπὶ γῆς εἰ μὲν δένδρῳ ἐμπέσοι, τηρεῖν δεῖ ποίῳ τούτῳ· οὐδὲ γὰρ πλανᾶσθαι πέφυκε καταφερόμενος, ἀλλὰ 10 ῥοιζηδὸν καὶ κατ' εὐθεῖαν καὶ οὕτως ἀπλανῶς κατα- B φέρεται. καὶ εἰ μὲν ἀμπέλου καθάψεται, ἐλάττωσις ἔσται τοῦ οἴνου, εἰ δὲ ἑτέρου τινὸς τῶν δένδρων, 343 τὴν ἐξ ἐκείνου καρπῶν ἔνδειαν παραδηλοῖ. εἰ δὲ ἐπὶ ποταμὸν κατενεχθείη, ἐνδεὴς μὲν ὁ ποταμὸς ὑδάτων 15 ἔσται, ὅσον πρὸς αὐτόν, ὄλεθρος δὲ τοῖς ἐν αὐτῷ νη- χομένοις ἐπιγενήσεται. εἰ δὲ ἐπὶ θαλάσσῃ, τὸν τόπον ἐπιτηρεῖν δεῖ, καθ' οὗ φέρεται ἡ φλόξ· πάντως γὰρ ἐκεῖνος ὁ τόπος, καὶ οὐκ αὐτὸς μόνος ἀλλὰ καὶ τὸ περὶ C αὐτὸν κλίμα ἢ πολέμῳ ἢ πειρατῶν δόλοις ταραχθήσε- 20 ται. εἰ δὲ ἐν πολιτικῷ ἢ δημοσίῳ κατενεχθείη τόπῳ, ἐμφυλίους τε πολέμους καὶ στάσεις καὶ τοῦ πολιτεύ- ματος ἀνατροπὴν δηλοῖ· αὐτὸν δὲ τὸν τόπον, καθ' οὗ ἐξαιρέτως φέρεται, οὐκ ἀλλοιώσει μόνον, ἀλλὰ καὶ τὴν ἐν αὐτῷ τύχην παντελῶς ἀναβάλῃ. εἰ δὲ ἐπὶ 25 τείχους πέσῃ, βλάψῃ δὲ μηδέν, πολεμίων ἔφοδον

6 Labeonem huius dissertationis auctorem esse conieci in proleg. ‖ 7 ἐν ante nomina zodiaci signorum hic et infra semper addidi, vide supra p. 48 adn. ad v. 6 ‖ 10 ῥυζηδὸν C ‖ 13 ἐκείνων C ‖ 17 φέρηται C ‖ 23 φέρηται C ‖ 25 πέσει C | πολέμων C | ante ἔφοδον del. μὲν Hercher

D σημαίνει· εἰ δὲ διαφθείρῃ τοῦ τείχους μέρος τι, σκοπητέον, κατὰ ποίου τινὸς μέρους καὶ πρὸς ποῖον ἀφορῶντος κέντρον τὸ τῆς διοσημασίας γένοιτο· ἐξ ἐκείνου γὰρ πάντως τοῦ κλίματος πολεμίους ἀναμένειν δεῖ κατὰ τοῦ τείχους. εἰ δὲ καθ' ἱεροῦ πέσῃ κεραυνός, 5
178 A τοῖς ἐνδόξοις τοῦ πολιτεύματος καὶ τοῖς περὶ τὴν βασιλείαν αὐλὴν ὁ κίνδυνος ἐνσκήψει. εἰ δὲ κατ' ἀγαλμάτων κατενεχθῇ, ποικίλας καὶ ἐπαλλήλους τὰς συμφορὰς τοῖς πράγμασιν ἀπειλεῖ· εἰ γὰρ χαρακτῆρες ἰδεῶν τινῶν καὶ κόσμια πόλεων τὰ ἀγάλματα ὑπωπτεύθη τοῖς παλαιοῖς, ἀρὰ τοῖς πράγμασιν ἢ περὶ αὐτὰ ὕβρις. 10

B 48. Ἥλιος ⟨ἐν⟩ ταύρῳ. ἐὰν κεραυνὸς κατενεχθῇ ἐπὶ καρποφόρον δένδρον, εὐκαρπίαν τοῖς κατ' αὐτὸ καρποῖς σημαίνει· τῷ δὲ γένει τῶν βοῶν ἐπιβλαβὲς 344 τὸ σημεῖον τοῦτο. εἰ δὲ ἐπὶ ποταμὸν κατενεχθείη ὁ 16 κεραυνός, λοιμώξει τὸ ὕδωρ καὶ τρόμος ἐπιγενήσεται τοῖς σώμασι τῶν ἀνθρώπων, ἀνατροπὴ δὲ τῶν ποταμίων ἰχθύων γενήσεται. εἰ δὲ εἰς θάλασσαν κατὰ τόδε καιροῦ κατενεχθείη ὁ κεραυνός, ἀγαθὰ σημαίνει 20 τοῖς πλησιοχώροις· οἱ γὰρ πειρατεύοντες χείρω πρά-
C ξουσιν. εἰ δὲ ἐπὶ τείχους κατενεχθείη, οὐ καλὸν τοῖς βοσκήμασιν· ἢ γὰρ διαφθαρήσονται ἢ ὑπὸ πολεμίων διαρπαγήσονται. εἰ δὲ καὶ μέρος τοῦ τείχους τῇ βολῇ τοῦ κεραυνοῦ καταφθαρείη, ταῖς νομαῖς τῶν χωρίων 25 ἔσται λοιμὸς καὶ ἔφοδος πολεμίων οὐκ εὐχερὴς εἰς ἄμυναν, καὶ ἄλλαι δέ τινες βλάβαι κάρτα σφαλεραὶ προσγενήσονται. εἰ δὲ κατὰ τὸν καιρὸν τοῦτον ἐπὶ

1—5 cf. Müller Etrusc. II p. 165 ‖ 7 *αὐλὴν* corr. Hercher pro *αὐτὴν* ‖ 10 *εἰδεῶν* libri: corr. Hercher ‖ 13 *κατενεχθείη V* ‖ 14 *ἢ ἐπὶ CL* ‖ 21 *οὐ χειρωπράξουσιν C* ‖ 24 *βουλῇ C*

ἱερὸν ὁ κεραυνὸς κατενεχθείη, χωρίων δημοσίας ζη-
μίας ἀπειλεῖ· δεῖ δὲ ὅμως τοὺς ἐφόρους τῶν τοιούτων D
ἱερῶν θεραπεύειν εἰς τὸ ἀποστρέψαι τὰ ἀπειλούμενα.
εἰ δὲ κατ' ἰδιωτικῆς ἢ βασιλικῆς οἰκίας κατενεχθείη κε-
5 ραυνός, συμφορὰς ἀναισίους παραδηλοῖ τοῖς κεκτημένοις.

49. Ἥλιος ⟨ἐν⟩ διδύμοις. κατὰ τὴν ἐπιτολὴν
ταύτην εἰ κεραυνὸς ἐπὶ δένδρου καρπίμου κατε- 180 A
νεχθείη, βλάψει τοὺς γεωργικοὺς καὶ τὰ καρποφόρα
δένδρα, οὐχ ἥκιστα δὲ ποταμοὺς καὶ πηγάς· λοιμώξει
10 δὲ τὸ ὕδωρ ὡς πᾶσαν καταφθεῖραι ἡλικίαν. εἰ δὲ
ἐπὶ θαλάσσης, πολεμίων ἔφοδον ἀπειλεῖ· τὸ δὲ πολὺ
μέρος ἢ νόσῳ φθαρήσεται ἢ πολεμίοις παραδοθήσε-
ται, ὡς σφόδρα μετρίους ἀπολειφθῆναι. εἰ δὲ νότου
345 πνέοντος κατὰ δημοσίου χωρίου κατενεχθείη κεραυνός, B
15 παντελῆ φθορὰν ἀνθρώποις ἀπειλεῖ· δύο δέ τινες
κατὰ τῆς βασιλείας ἐπαναστήσονται, ὡς μερισθῆναι
τὴν βουλὴν καθ' ἑαυτήν· μικρὸν δὲ ὕστερον ἑκάτερος
αὐτῶν ἀποφθαρήσεται, πολλοὶ δὲ χάριν ἐκείνων κιν-
δυνεύσουσιν. εἰ δὲ ἐπὶ τείχους κατὰ τόδε καιροῦ
20 σκηπτὸς ἐκπέσῃ, τὰ αὐτὰ σημαίνει· πόλεμοι γὰρ ἔσον-
ται, ἀλλ' οὐκ εὐτυχεῖς τοῖς πολεμίοις. ἐπισημήνασθαι
δὲ χρεὼν ἐκ ποίου κλίματος τοῦ ἀέρος ἐκπίπτοι ἡ C
φλόξ· ἐπ' ἐκείνου γὰρ φυλακῆς καὶ ἀσφαλείας δέον·
καὶ γὰρ ἐξ αὐτοῦ πολεμίων ἔφοδος ἔσται.

25 Ἥλιος ⟨ἐν⟩ καρκίνῳ. εἰ κατὰ τὴν ἐπιτολὴν τοῦ
καρκίνου κεραυνὸς ἐπὶ ὕλην κατενεχθείη, μετριώτερον
ἔσται τὸ καυσῶδες τοῦ καιροῦ, λειψυδρία δὲ ἔσται.
εἰ δὲ ἐπὶ θαλάσσης κατενεχθείη, στόλοις πολεμίων
καὶ ναυμαχίαις ταραχθήσεται τὸ κλίμα, ἀλλ' οὐκ ἐπι-

25 εἰ] ἡ C

D μενεῖ χρόνῳ, ἔσται δὲ κρείττονα τὰ πράγματα, καὶ οἱ πολέμιοι ἡττηθήσονται, καὶ ὁ στόλος αὐτῶν καταβυθισθήσεται. εἰ δὲ κατὰ δημοσίου τόπου κατενεχθείη τὸ πῦρ, θηρία ἑρπετὰ τοῖς κτήνεσιν ἐνοχλήσουσι, καὶ οὐχ ἥκιστα ἀνθρώποις· βιαιοτέρα δὲ ἔσται ἡ ἐξ αὐτῶν 5
182A βλάβη τῷ τοῦ ἀέρος βαρεῖ καταστήματι θερμαινομένη. εἰ δὲ ἐπὶ τείχους κατενεχθείη, ἐμπρησμοὺς σημαίνει· καὶ πόλεμος δὲ κινηθήσεται οὐκ εὐτυχὴς τοῖς πράγμασιν. εἰ δὲ παντελῶς καταφθαρείη τῷ σκηπτῷ τὸ τεῖχος, ἐμπρησμοὺς κατὰ τῶν ἀναγκαίων τῆς πόλεως 10 μερῶν προσδοκητέον, δόλοις δὲ οὗτοι καὶ ἐπιβουλαῖς 346 γενήσονται, ἕψεται δὲ καὶ πόλεμος οὐ μικρός, καὶ βλάβη γενήσεται τοῖς τόποις.

B 50. Ἥλιος ⟨ἐν⟩ λέοντι. κατὰ τοῦτον τὸν καιρὸν εἰ κατενεχθείη κεραυνὸς καθ' οἵου δήποτε τόπου ἢ 15 μέρους ἢ ποταμοῦ ἢ θαλάσσης, ὄλεθρον τοῖς βασιλεῦσι καὶ τοῖς ἐν δυναστείαις σημαίνει· καὶ οὐκ ἔστι τις διαφορὰ περὶ τούτου. εἰκότως τε κοιναὶ συμφοραὶ τοῖς δημοσίοις βλαστήσουσι· συγκινδυνεύσειν γὰρ εἰκὸς αὐτοὺς τοῖς βασιλεῦσι. καὶ οὐκ ἔσται ὁ νικῶν ἐν τοῖς 20 μαχομένοις, ἀλλὰ καθολικὴ φθορὰ αὐτῶν τε τῶν ἐν
C δυνάμει καὶ οὐχ ἥκιστα τῶν ὑπὲρ αὐτῶν ἐνισταμένων ταῖς μάχαις. καὶ τὸ δὴ πάντων σχετλιώτερον, καταφθαρήσονται καὶ αἱ περιουσίαι τῶν πολλῶν, καὶ αἱ πόλεις πυρίφλεκτοι ἔσονται. 25

Ἥλιος ⟨ἐν⟩ παρθένῳ. ἡλίου δὲ ἐπὶ τὴν παρθένον ἰόντος εἰ κατενεχθείη κεραυνός, φθορὰν γυναικῶν

3 δημοσίου τόπου] δημοσίου *L*, δημοσίους τόπους *CV* ‖ 5 αὐτῷ *C* ‖ 11 δόλοις δὲ οὗτοι] καὶ ἐμπρησμοὶ δόλοις *CL* ‖ 17 ἔσται *LV* ‖ 19 δημίοις *C*, δήμοις suspicatur H. | βλαστήσουσι corr. Hercher pro βλασθήσονται ‖ 23 σχεταιότερον *C*

ἀπειλεῖ σωφρόνων, πτῶσιν δὲ καὶ αὐτῇ τῇ βασιλίδι
καὶ τοῖς αὐτῆς τέκνοις. ἐλάττωσις δὲ ἔσται τῶν δή-
μων, ἀποτεύξεται δὲ καὶ ἡ ἄμπελος· ταῖς δὲ παρθέ-
νοις καὶ γυναιξὶ γενήσονται συμφοραὶ ὡς καὶ ὑπὸ D
5 πολεμίων ἁλῶναι.

Ἥλιος ⟨ἐν⟩ ζυγῷ. ἐὰν δὲ ⟨ἐν⟩ ζυγῷ ὁ ἥλιος γένη-
ται, εἰ συμβῇ κεραυνὸν καταβληθῆναι, πᾶσα ἀδικία καὶ
ἀπληστία καὶ φιλαρχία κατακρατήσει τῶν πραγμά- 184 A
των, ὡς καὶ περὶ τὰ θεῖα αὐτὰ τὰ τῆς ὕβρεως ἀνε-
10 νεχθῆναι. ἀπορριφήσονται δὲ ὑπὸ τῶν βασιλέων οἱ
347 χρηστοὶ τοῦ πολιτεύματος. τὰ δὲ μέτρῳ ἢ σταθμῷ
ἀποδιδόμενα οὐχ ἕξει τὸ δίκαιον. πάντων δὲ βαρυ-
τέρα ἔσται ἡ περὶ τὰ δημόσια τελέσματα σπουδή, οἵ
τε νόμοι καταφρονηθήσονται, καὶ οἱ δῆμοι ἐξ ἀλογίας
15 ταραχθήσονται, καὶ ἐκ παντὸς τρόπου καὶ ἡ τοῦ θεοῦ
δειχθήσεται ὀργή.

51. Ἥλιος ⟨ἐν⟩ σκορπίῳ. ὅταν δὲ ⟨ἐν⟩ σκορπίῳ B
γένηται, εἰ κατὰ δένδρου κατενεχθείη κεραυνός, πλοῦ-
τον μὲν τοῖς κυρίοις τοῦ δένδρου ἐπαγγέλλεται, τὸ δὲ
20 γεωργικὸν ἐλαττωθήσεται. ἐπικίνδυνος δὲ καὶ ὁ πλοῦς
ἔσται, καὶ συχνοὶ ἐπὶ τῆς θαλάσσης ἐκπεσοῦνται κε-
ραυνοί, ναυάγιά τε πολλὰ συμβήσεται. εἰ δὲ κατὰ
δημοσίου τόπου ἐνσκήψει κεραυνός, νεανίας ἀναιδὴς
τῆς βασιλείας ἐπιλάβηται, ἀσώτων καὶ διεφθορότων
25 συντρεχόντων αὐτῷ. εἰ δὲ κατὰ τειχῶν κατενεχθείη C
κεραυνός, πολέμους ἐκ τῶν πλησιοχώρων καὶ φθορὰν τῇ
νεολαίᾳ δεδιέναι χρῆ. οἱ δὲ πολέμιοι μυρίοις εἰσπεσοῦν-
ται κακοῖς, ὡς εὐκταῖον αὐτοῖς νομισθῆναι τὸν θάνατον.

1 ἀποτελεῖ *L* ‖ 2 αὐτῆς] αὐτοῖς *C* ‖ 9 pro περὶ H. coni. πρὸς ‖ 10 ὑπὸ corr. H. pro ἀπὸ ‖ 20 ὁ πλοῦς] ἀπλοῦς *C* ‖ 28 εὐκτέον *C*

Ἥλιος ⟨ἐν⟩ τοξότῃ. ὅταν δὲ ἥλιος ἐπὶ τοξότην γένηται, εἰ κατενεχθείη κεραυνὸς ἐπὶ ὕλην, ἐμπρησμοὺς ταῖς ναυσὶν ἀπειλεῖ. εἰ δὲ ἐπὶ ποταμοῦ κατενεχθείη, πολέμους καὶ ναυμαχίας σημαίνει, ὡς ἐρήμους πολλοὺς
D ἐκ τῆς τοιαύτης ἐφόδου γενέσθαι. κίνησιν δὲ οὐχ 5
ἥκιστα ἀπειλεῖ Περσῶν, καὶ ἔνδειαν ταῖς πολιοκρουμέναις ὑπὸ πολεμίων πόλεσιν. εἰ δὲ πρὸς ταῖς ἡλίου δυσμαῖς σκηπτὸς κατενεχθείη, ἐμφυλίους σημαίνει
186 A μάχας· ἀλλ' οὐκ εἰς χρόνον ἐκταθήσεται τὰ τῆς διχονοίας, κρείττονα δὲ ἔσται τὰ πράγματα, αὐτῶν τῶν 348
αἰτίων τῆς στάσεως ἀπολλυμένων, ὥστε τὸ πολίτευμα 11
εἰρήνης ἀπολαῦσαι.

52. Ἥλιος ⟨ἐν⟩ αἰγόκερῳ. κατὰ τόδε καιροῦ κεραυνὸς καταφερόμενος, ἐφ' ὃν ἂν κατενεχθείη τόπον, γενικὴν ἱλαρίαν σημαίνει, εἰρήνην τε ταῖς πόλεσι καὶ 15
B εὐκαρπίαν τοῖς ἀγροῖς ἔπαινόν τε τοῖς βασιλεῦσι τῆς πολιτείας.

Ἥλιος ⟨ἐν⟩ ὑδροχόῳ. κατὰ δὲ τὸν καιρὸν τοῦτον εἰ κεραυνὸς κατενεχθείη, ἐκδρομὰς τῶν ποταμῶν ἀπειλεῖ καὶ ἀφανισμοὺς τῶν χωρίων. τὸ δὲ θέρος 20
καυσῶδες ἔσται, καὶ ἐλάττωσις οἴνου καὶ ἐλαίου, ὡς πολλοὺς ἐκ τῆς ἐνδείας μετανάστας γενέσθαι.

Ἥλιος ⟨ἐν⟩ ἰχθύσιν. ὅταν δὲ ⟨ἐν⟩ ἰχθύσιν ἥλιος γένηται, εἰ κεραυνὸς κατενεχθείη, ζάλην τῇ θαλάσσῃ ἀπειλεῖ, ναυαγία δὲ ἔσται βαρεῖα, καὶ ἀνατροπὴ 25
C μὲν τῶν ἰχθύων, ὀχληθήσεται δὲ οὐδὲν ἧττον ἡ θάλασσα ὑπὸ πειρατῶν. νέος δέ τις εὐγενὴς στρατευ-

3 ἀποτελεῖ *L* ‖ 16 ὑγροῖς *L* ‖ 16. 17 τῆς πολιτείας] καὶ τοῖς μεγιστάνοις αὐτῶν *L* ‖ 27 ὑπὸ *L*, ἀπὸ *CV*

σάμενος ἀπολέσει τὸ πειρατικὸν καὶ ἔνδοξος ἐπὶ τῇ νίκῃ γενήσεται.

Καὶ εἴρηται μὲν πρότερον (p. 96, 3) ὡς οὔτε ἐν Σκυθίᾳ οὔτε ἐν Αἰγύπτῳ κεραυνοὶ καταφέρονται· εἰ
5 δὲ τυχὸν κατενεχθείη κατὰ τόδε καιροῦ ἐπὶ τὰ εἰρημένα κλίματα κεραυνός, ἀγαθὰ τοῖς ἐκεῖ σημαίνει.

ΠΕΡΙ ΣΕΙΣΜΩΝ D

53. Δήλων οὐσῶν τῶν εἰρημένων τοῖς πάλαι φιλοσοφήσασιν αἰτιῶν ἐπὶ τοῖς περὶ τὴν γῆν πάθεσι,
349 μίαν ἐκ πασῶν, τὴν περὶ τοῦ καταγείου πυρός, τέως
11 ἀποδεχόμενοι, ἐπεὶ κἂν τοῖς τόποις, ἐν οἷς συνεχῶς 188 A σάλοι συμβαίνουσιν, οἶδα γενόμενον ἐμαυτόν, ὀλίγα ἄττα περὶ τῶν ὄψεσιν αὐταῖς ὑποπεσόντων ἡμῖν ἀφηγησόμεθα. καὶ γὰρ τὸ πῦρ, διεργαζόμενον καὶ ἐξα-
15 ραιοῦν τὴν ἐν βάθει γῆν, τουτὶ παρασκευάζει συμβαίνειν. ἀμέλει τὰ πλησιάζοντα τοῖς ἀναφυσήμασι καὶ ταῖς τῶν θερμῶν ἀναβολαῖς ὑδάτων πυκνότερον σείεται, οἷα τὰ περὶ τὴν Φρυγίαν Λαοδίκειαν καὶ τὴν B παρ' αὐτῇ Ἱερὰν πόλιν καὶ τὴν καθ' ἡμᾶς Φιλαδέλ-

1. 2 τὴν νίκην libri: corr. H. ‖ **6** ἐκεῖσε *L* ‖ **7** dissertatio de terrae motibus (cap. 53—58 extr.) extat etiam in *R* fol. 70; in *S* fol. 1 (in quo cum epitome tantum reperiatur, nullas eius scripturas enotavit H.); in *L*, in quo inscribitur rubr. περὶ σεισμῶν καὶ τί τὸ αἴτιον τούτων ὧδε διαλεχθήσεται κατὰ φυσικὴν δύναμιν | cap. 53 cf. Aristot. meteor. II 8 ‖ **11** ἀποδεχόμενος libri: correxi | κἂν pro καὶ corr. H. ‖ **14** usque ad p. 109, 10 reperitur etiam in *F* et *G* de quibus vide epimetrum de terrae motibus ‖ **14. 15** ἐξηρετῶν *F* ‖ **16** ante ἀμέλει *CR* ἢ add. quod H. mutat in ᾗ ‖ **17** ἀναβολαῖς ὑδάτων] ὑδάτων ἀναδόσεσιν *G* ‖ **18** αἴεται *C*, περισείεται *G* | cf. Aristot. de mund. p. 395ᵇ 26 sq. Bekker | οἷα] om. *F*, ταῦτα δ' εἰσὶ *G* | τὴν om. *G* | Φρυγίας *CGR* | post Φρυγίας add. *G* καὶ ‖ **18. 19** τὴν παρ' αὐτῇ] om. *FG*, τὴν παρ' αὐτὴν *L* ‖ **19** τὴν καθ' ἡμᾶς] om. *FG*

φειαν, καὶ καθ' ὅλου τὴν ἐπὶ τάδε Ἀσίαν, καὶ τὰ πλεῖστα δὲ τῆς πρὸς δύνοντα ἥλιον Εὐρώπης, Σικελίαν λέγω καὶ Ἰταλίαν. καὶ γὰρ ἡ τῶν σεισμῶν γένεσις πνευμάτων ἐστὶ ξηρῶν διὰ σηράγγων ἰόντων· τοῦ δὲ πλεονασμοῦ αἰτίαι πλείους. πρώτη μὲν καὶ μεγίστη 5
ἡ τοῦ καταγείου πυρὸς ἐξαραίωσις, δευτέρα δὲ ἡ τῆς θαλάσσης εἰς τοὺς σηραγγώδεις τόπους ἐπιδρομή.
C *συνεργεῖ δὲ καὶ πολυομβρία χειμῶνος, καὶ θέρους ἀνομβρία· ἡ μὲν γὰρ πιλοῦσα τὴν γῆν καὶ εἰς τὸ βάθος ἀπωθουμένη τὸ πνεῦμα ἀρχὴν αὐτῷ θλίψεως πα-* 10
ρασκευάζει, ἡ δὲ ἐπισπωμένη καὶ σύρουσα. (54 H.) *τῶν δὲ σεισμῶν οἱ μέν εἰσιν ἐπικλίνται οἱ δὲ βράσται, καὶ ἐπικλίνται μὲν οἱ κυματηδὸν ἐπὶ τὰ πλάγια σείοντες, βράσται δὲ οἱ τινάσσοντες καὶ σείοντες ἄνω καὶ κάτω. εἰσὶ δ' αὐτῶν οἱ μὲν ῥῆκται, οἱ δὲ* 15
D *σεισταὶ μόνον, οἱ δὲ ἰξηματίαι, καὶ σεισταὶ μὲν οἱ τρόμον τινὰ τῆς γῆς ἢ καὶ σύμπτωσιν τῶν δεδονημένων ἐργαζόμενοι, ἰξηματίαι δὲ οἱ τοῖς κοιλώμασι* 350

1 *τὴν ἐπὶ τάδε*] *τὰ ἐπὶ τὴν* *L* ‖ 2 *πρὸς*] *κατὰ τὸν* *L* ‖ 3 cf. Aristot. meteor. II 8, 9; Plin. II 194 | *λέγω* om. *F* ‖ 4 *πνευμάτων — πλείους* (5)] sic scripsi ex *FG*, *πνεύματός ἐστι ξηροῦ διὰ σηραγγώδους φθαρτοῦ* *CR*, *πνεύματός ἐστι ξηροῦ* *L* ‖ 5 post *μὲν* add. *οὖν* *G* | post *μεγίστη* add. *αἰτία* *G* ‖ 6 post *ἐξαραίωσις* add. *ἐστὶ* *G* ‖ 8 post *δὲ* add. *ταύτῃ* *G* | *κατὰ τὸν χειμῶνα καὶ αὖ κατὰ τὸ θέρος* *G* ‖ 9 *ἡ*] *εἰ* *FL* ‖ 10 *πνεῦμα καὶ ἀρχὴν* *C* | *ἐκθλίψεως* *FG* ‖ 11 *σείουσα* *L* ‖ **12 — p. 109, 3** Ps. Aristot. de mundo p. 395[b] 36 Bkk. *τῶν σεισμῶν οἱ μὲν εἰς πλάγια σείοντες κατ' ὀξείας γωνίας ἐπικλίνται καλοῦνται, οἱ δὲ ἄνω ῥιπτοῦντες καὶ κάτω κατ' ὀρθὰς γωνίας βράσται, οἱ δὲ συνιζήσεις ποιοῦντες εἰς τὰ κοῖλα χασματίαι· οἱ δὲ χάσματα ἀνοίγοντες καὶ γῆν ἀναρρηγνύντες ῥῆκται καλοῦνται.* ‖ 12 *ἐπικλίνται* corr. H. ex Ps. Aristotele pro *ἐπικλινίαι*, quod semper Lydi codices exhibent ‖ 13 *καὶ* ante *ἐπικλίνται* om. *CLR* | post *μὲν* add. *εἰσιν* *L* ‖ 16 *μόνον* om. *F* | *εἰσξηματίαι* *C*, *ξηματίαι* *L* ‖ 17 *ἢ*] *οἱ* *C*, om. *FGL* ‖ 18 *ξηματίαι* *L* | *οἱ* *GL* | *κυκλώμασι* *CFGL*

τὴν ὑπερκειμένην ἐγκαθίζουσι γῆν, ῥῆκται δὲ οἱ τὰς
καταπόσεις καὶ τὰ χάσματα διαπηδώσης τῆς γῆς ἀπο- 190 A
σχίζοντες. ἔτι τῶν ῥηκτῶν οἱ μὲν πνεύματα ἀναβάλ-
λουσιν, οἱ δὲ ὑγρὰ καὶ πηλόν, οἱ δὲ μυκήματα, ἐνίοτε
5 μὲν σὺν σεισμῷ, ἐνίοτε δὲ καὶ ἄνευ τούτου πιλού-
μενον τὸ πνεῦμα καὶ μετεμπῖπτον βρόμον τε καὶ ψό-
φον ῥηγνυμένων τινῶν (ὡς εἰκὸς) ὑπὸ γῆν πετρῶν
ποιεῖ. συμβαίνουσι δ' ὡς ἐκ πλείονος ἐν ἔαρι ἢ ἐν
μετοπώρῳ, καὶ νηνεμίᾳ μᾶλλον ἢ ἀνέμων φορᾷ, περὶ B
10 πλειάδος καὶ ἀρκτούρου ἐπιτολήν.

54. Ταῦτα μὲν ἄν τις πρὸς τὰς φυσικὰς ἐννοίας
ἀφορῶν εἰκονίσειε· προνοίᾳ δὲ ὅμως καὶ ἐπισκοπῇ
τῆς Δίκης πάντα γίνεται. οὐ γὰρ εἰκῇ, ἐπεὶ τόδε τὸ
πᾶν νόμοις μὲν φυσικοῖς συγκροτεῖται, προνοίᾳ δὲ
15 θεοῦ καὶ λόγῳ τύχης ἐπέκεινα διοικεῖται. ὅθεν οὐ

1 ἐγκαθίζουσι *FL*, εἰκαθίζουσι *C*, ἐγκαθίζοντες *G* | δὲ om. *L* ‖ **2** καταπτώσεις *FG* | χάσματα] σχήσματα *L* ‖ **3—5** Aristot. l. s. p. 396ᵃ 5. τούτων δὲ οἱ μὲν καὶ πνεῦμα προσαναβάλλουσιν, οἱ δὲ πέτρας, οἱ δὲ πηλόν, οἱ δὲ πηγὰς φαίνουσι τὰς πρότερον οὐκ οὔσας . . . γίνονται δὲ καὶ μυκητίαι σεισμοὶ σείοντες τὴν γῆν μετὰ βρόμου. ‖ **3** πνεύμα *F* ‖ **4** ἐνίοτε—σεισμῷ (5)] om. *L* ‖ **5** post σὺν add. τῷ *FG* ‖ **5—8** Aristot. l. s. πολλάκις δὲ χωρὶς σεισμοῦ γίνεται μύκημα γῆς, ὅταν τὸ πνεῦμα σείειν μὲν μὴ ᾖ αὔταρκες, ἐνειλούμενον δ' ἐν αὐτῇ κόπτηται μετὰ ῥοθίου βίας. cf. meteor. II 8, 38 ‖ **5. 6** post πιλούμενον add. γὰρ *F* ‖ **6** μεταπίπτον *FGR* ‖ **8—10** Aristot. meteor. II 8, 11 et 4 | ὡς ἐπὶ τὸ πλεῖστον *G* ‖ **9** φθορᾷ *C* ‖ ea quae inde a **11** usque ad finem capitis 58 leguntur extant etiam in *A*, ex quo edidit Schow in editione Lydi de mensibus p. 130—134 et in *P* fol. 190 vers. et in *V* fol. 287 vers., in quorum utroque rubre inscribitur Ἰωάννου Λαυρεντίου φιλαδελφέως περὶ σεισμῶν μετὰ τὸ τὰ ἐν τῷ ἑτέρῳ βιβλίῳ γεγραμμένα ἀναγεγνῶσθαι καὶ ταῦτα (Veneti tamen scripturas afferre non attinet) ‖ **12** εἰκονίζεται *A*, εἰκονισοι *L*, εἰκονίσῃ ceteri: corr. Hercher ‖ **13** Δίκης] cf. Porphyr. ap. Stob. ecl. II p. 171, 8 W. | post ἐπεὶ add. καὶ *ALP* ‖ **14** νόμοις *L*, μόνοις *ACP*, λόγοις *R* ‖ **15** τύχης pro σιγῆς scripsi cum H. ita tamen, ut hunc genetivum ad ἐπέκεινα, neque ad λόγῳ referam

μόνον αὐτοὶ καθ' ἑαυτοὺς οἱ σεισμοὶ βλάπτουσι τοὺς καθ' ὧν συμβαίνουσιν, ἀλλὰ μὴν καὶ ἄλλων πόρρω C που τόπῳ τε καὶ χρόνῳ μεριζομένων γίνονται μηνυταὶ οὐ μετρίων κακῶν. ὅτι δὲ οὕτω καὶ οὐκ ἄλλως τὴν τυχηρὰν ὁ περὶ αὐτῶν λόγος φεύξεται σύμβασιν, 5 ἐκ τῶν ὑποκειμένων γνῶναι δυνατόν. αὐτὸς γὰρ Βικέλλιος ὁ Ῥωμαῖος ἐκ τῶν Τάγητος στίχων (περὶ οὗ καὶ Ἀπουλήιος ὕστερον πλατεῖ καὶ ἐλευθέρου 351 ποδὸς ἀφηγήσατο λόγῳ) ταῦτα ῥήμασιν αὐτοῖς καθ' ἑρμηνείαν φησίν. 10

VICELLII SEISMOLOGIVM

D 55. Ἥλιος ἐν κριῷ. ἐὰν γένηται σεισμὸς ἐπὶ μὲν τῆς Ἀσίας, κακὸν τῇ Συρίᾳ τῇ κοίλῃ καὶ τῇ Παλαιστίνῃ καὶ τῇ Ἰουδαίᾳ ἀπειλεῖ, ἐπὶ δὲ τῆς Εὐρώπης 192A Βρεταννίαις, Γαλατίαις, Γερμανίαις, Βαστάρναις. οἱ 15 δὲ βασιλεῖς στρατεύσονται κατὰ τῶν πολεμίων, ἀλλ' οὐκ εὐτυχῶς· ἐλαττωθέντων γὰρ αὐτοῖς τῶν στρατευμάτων οἱ στρατηγοὶ ἄπρακτοι ἀναζεύξουσι. πλείων δὲ ἔσται ἐπὶ τῆς ἀνατολῆς ἡ τῶν ἀνδρῶν βλάβη παρὰ τὰς γυναῖκας, ὅτι ἄρρεν ζῴδιον ὁ κριός. 20

3 τόπῳ τε καὶ χρόνῳ *L*, τρόπων τε καὶ χρόνων *P*, τόπων τε καὶ χρόνων ceteri | ante γίνονται add. κακῶν et om. postea οὐ μετρίων κακῶν *L* ‖ 4 μετρίων] μικρῶν *A* ‖ 5 αὐτὴν *AP*, αὐτὸν *L* ‖ 7 βικέλιος *AP*, βεκέλλιος *L* ‖ 8 ante πλατεῖ in *P* spatium 7 litt. | ἐλευθέρῳ *ACLP* ‖ 9 ποδὸς transponit *L* post πλατεῖ (8) | πόδες *C* | ἀφηγήσαντο *CP* ‖ 10 φασὶν *P* ‖ 12 ἥλιος — σεισμὸς] ἡλίου ἐν τῷ κριῷ. ὁπόταν ἡλίου ὄντος ἐν τῷ κριῷ σεισμὸς γένηται *A*, ὁπόταν ἡλίου ὄντος ἐν κριῷ σεισμὸς γένηται. ἥλιος κριῷ rubr. *P* | ἐν ante κριῷ add. *L* et sic semper ‖ 13 τῇ κοίλῃ Συρίᾳ *A*, τῇ κοιλίᾳ Συρίᾳ *P* ‖ 15 βρεtανία, γαλατία, καὶ βαστέρνα, γερμανία *L* | Βαστάρναις corr. H. coll. p. 58, 18 (cf. Ptolem. tetrab.), βασταρνίαις *AP*, βαστέρναις *CR* ‖ 18 ἐπαναζεύξουσι *L* | πλεῖον *L* ‖ 19 ἔσται om. *A*, ἔσεσθαι *L* | ἡ τῶν] sic *L*, κατ' ceteri | βλαβὴ ἢ γυναίων *R* | παρὰ] ἐπὶ *L* ‖ 20 post κριὸς add. ἐστὶ *L*

Ἥλιος ἐν ταύρῳ. εἰ σάλον συμβαίη γενέσθαι, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Πέρσαις καὶ Αἰθίοψι τοῖς παρ' B
Ἰνδὸν ποταμὸν τῇ τε παραλίᾳ τῆς μικρᾶς Κυκλάσι τε καὶ Κύπρῳ ταῖς νήσοις ὄλεθρος ἐπικείσεται λοιμώδης,
5 ὥστε καὶ αὐτὰ τὰ ὑποζύγια τῶν εἰρημένων χωρίων φθαρῆναι· ἐκπύρωσίς τε αὐτοῖς βαρεῖα καὶ λοιμώδης, ἐκτροπαί τε ποταμῶν ἄσχετοι συμβήσονται, καὶ ἐπὶ τοῦ θέρους λεῖψις τῶν ποταμίων ὑδάτων. ταῖς δὲ θήλεσι τῶν ζῴων, λογικῶν τε καὶ ἀλόγων, πλείων ἡ βλάβη,
10 ὅτι θῆλυ ζῴδιον ὁ ταῦρος.

Ἥλιος ἐν διδύμοις. εἰ κίνημα γῆς ὁποιδήποτε C
συμβήσεται, ἐπὶ μὲν τῆς μεγάλης Ἀσίας Ὑρκανίαν,
352 Ἀρμενίαν ἑκατέραν, Ἀμαδιανήν, ἐπὶ δὲ Λιβύης ἢ μᾶλλον Εὐρώπης (ὅτι μέρος Εὐρώπης Λιβύη) Μαρ-
15 μαρικὴν καὶ Νασαμωνίτιδα καὶ ἁπλῶς τὴν παρατεταμένην ταῖς μεγάλαις Σύρτεσι ξηρὰν ἔσχατος περιστήσεται λιμός, ὥστ' ἐξ ἀνάγκης τοῖς λογάσι τῶν χωρῶν ἐπαναστήσεται τὸ πλῆθος ἐξωθῆσαι αὐτούς. ἐκ δὲ τῶν συμφορῶν οὐδεὶς οὐδενὶ ἔσται πιστός, οὐδὲ μητέρες D
20 τέκνοις. πτώσεις τε καὶ ἀφανισμοὶ οἴκων, ἐμπρησμοί

1 ἡλίου ἐν τῷ ταύρῳ *A*. et sic semper | εἰ—γενέσθαι] om. *AP* | γενέσθαι συμβήσεται *L* ‖ 2 Πέρσαις addidi ex *L* ‖ 3 an ἐπὶ δὲ τῆς μικρᾶς τῇ τε παραλίᾳ? | τῇ τε παραλίᾳ τῆς μικρᾶς] om. *L* ‖ 4 Κύπρῳ ταῖς] πρώταις *L* ‖ 6 ante αὐτοῖς add. ἔσται et om. βαρεῖα *L* ‖ 7 συμβήσονται add. *R* ‖ 8. 9 ἐν θέρει λείψεις *L* ‖ 9 θηλυίαις *L* ‖ 9 πλείων ἡ] om. *L* | post βλάβη *L* add. γενήσεται ‖ 10 post ταῦρος add. ἐστίν *L* ‖ 11 εἰ—συμβήσεται (12)] om. *AP* | ὁπουδήποτε coni. H. ‖ 12 συμβῇ γενέσθαι *L* ‖ 13 ante Ἀμαδιανὴν repetit ἑκατέραν *P* | Ἀμαδιανήν scripsi coll. p. 59, 16 et p. 258[A], Ἀδιαβινήν *AP*, Ἀδιαβηνήν *C*, om. *L* ‖ 14. 15 Μαρμαρικὴν om. *P* ‖ 15 ἀσαμωνίτιδα *AP*, ἀμμωνίτιδα *R* ‖ 16 Σύρτισι *A* ‖ 17 ὥστ' corr. Hercher pro ὡς ‖ 18 ἐπαναστῆναι *CPR* ‖ 19 hinc *L* exhibet formam contractam | ante οὐδὲ H. addidit ἀλλ' ‖ 19. 20 μητράσι τέκνα *A* ‖ 20 ante ἐμπρησμοί add. καὶ *A*

τε βαρεῖς. τύραννος πρὸς τούτοις ὠμότατος ταράξει τοὺς νόμους, ὡς μηδὲ αὐτῶν τῶν ἱερῶν φείσασθαι. τὰ δὲ τῶν συμφορῶν τοῖς ἄρρεσι τῶν ζῴων, καὶ
194 A λογικῶν διαφερόντως, πλέον ἐπιπεσεῖται, ὅτι ἄρρεν καὶ ἀνθρωποειδὲς ζῷον οἱ δίδυμοι. 5

56. Ἥλιος ἐν καρκίνῳ. εἰ σάλον ἐπιγενέσθαι συμβαίη καθ' ὁντιναοῦν τόπον, ἐπὶ μὲν τῆς ἄνω
B Ἀσίας τὰ προσεχῆ Πέρσαις ταραχθήσεται, νόσοι τε λοιμώδεις ἐμπεσοῦνται τοῖς σώμασι τῶν ἐν αὐτοῖς ἐνδόξων, ὡς ἐρήμους ἀρχόντων γενέσθαι τὰς πόλεις 10 αὐτῶν. οἱ δὲ μετ' αὐτοὺς τῶν πραγμάτων ἀνθεξόμενοι, ψήφῳ τοῦ πλήθους καὶ αὐτῶν ⟨τῶν⟩ ἀρίστων ἀφελκύσουσι τὰ τέκνα τῶν γονέων, καὶ ἀποδῶνται μακράν. ἐπὶ δὲ τῆς κάτω Ἀσίας Βιθυνία Φρυγία τε πᾶσα, καὶ Εὐρώπης μὲν ἡ Κολχική, ἣν νῦν προσαγορεύουσι 15 Λαζικήν, Λιβύης δὲ ἡ μέχρι Νουμιδίας Ἀφρικὴ τοῖς
C αὐτοῖς ὁμιλήσει κακοῖς. ἐκλείψεις τε σεληνιακαὶ ἔσονται, ὅτι σελήνης οἶκος ὁ καρκίνος. πλείων δὲ ὕβρις γυναιξὶ γενήσεται, καὶ διαφερόντως ταῖς ἑταιριζομέναις, ὅτι θῆλυ ζῴδιον ὁ καρκίνος καὶ Ἀφροδίτης, ὅτι ταὐ- 20 τὸν Ἀφροδίτη σελήνῃ.

353

1 ὠμότατα *A* ‖ 3 pro τὰ H. suspicatur τὸ ‖ 5 ante ζῷον delevi τὸ ‖ 7 συμβαίνει *A* ‖ 8 ταραχθήσονται libri: corr. Hercher ‖ 12 ψόφῳ *CP* | τῶν post αὐτῶν addit H. ‖ 12. 13 ἀφελκύσωσιν *CP*, ἀφελκύσαντες *R* ‖ 13 καὶ om. *R* | ἀποδόνται *P*, ἀπόδονται *C*, ἀπολοῦνται *A*, ἀποδώσουσιν *R*: corr. H. | μακρὰν transponit *R* ante ἀποδῶνται ‖ 14 τῆς κάτω Ἀσίας] sic scripsi ex *A*, τῇ κάτω Ἀσίᾳ *PR*, τῇ κάτω *CL* ‖ 15 Εὐρώπῃ *A* ‖ 16 Λιβύη δὲ καὶ ἡ *APR* | ἡ ante μέχρι om. *L* | Νουμηδίαν *A* ‖ 17 ἔκλειψις τε σεληνικὴ ἔσεσθαι *L* | τε] δὲ *A* ‖ 18 σελήνη οἶκος καρκίνου *A* | post καρκίνος *L* add. ἔστιν ‖ 18. 19 πλεῖον δὲ αἱ ὕβρεις ταῖς γυναιξὶ γενήσονται *L* ‖ 20 Ἀφροδίτης] Ἄρης *A* | ὅτι] καὶ *L* ‖ 21 σελήνῃ] καὶ σελήνη *L*, σελήνης *R*

Ἥλιος ἐν λέοντι. ἐὰν σάλος γένηται, οὐκ ἀγαθὸν ἐπὶ μὲν τῆς Ἀσίας Φοινίκῃ πάσῃ καὶ Ὀρχηνίᾳ, ἐπὶ δὲ τῆς Εὐρώπης Ἰταλοῖς τε καὶ Σικελοῖς καὶ Γάλλοις, ἔτι γε μὴν καὶ Λιβύῃ πάσῃ οὐκ ἀγαθόν· τὰ γὰρ D
5 βοσκήματα λιμῷ φθαρήσεται, ἐπομβρία δὲ ἔσται καὶ ἀκρίδων νέφη. ὁ δὲ λεγόμενος βροῦχος τοῖς καρποῖς λυμανεῖται, φθοραὶ δὲ ἔσονται ἀνδρῶν, ὡς πάντα ἐγγὺς μονωθῆναι τὰ συνοικέσια. οἱ δὲ λέοντες ἐν οἷς γίνονται χωρίοις φονικωτέρως κατ' ἀνδρῶν ὁρμή- 196 A
10 σουσι· τοῖς δὲ ἐν οἷς οὐ πεφύκασι φαίνεσθαι, πυρετὸς ὀξὺς ἐπιπεσεῖται. οἱ δὲ ἄρρενες πλεῖον αἰσθήσονται βλάβης, καὶ μάλιστα οἱ πρὸς ἀνίσχοντα ἥλιον, ὅτι ἄρρεν καὶ ἡλιακὸν ζῴδιον ὁ λέων.

Ἥλιος ⟨*ἐν*⟩ *παρθένῳ.* ἡλίου ἐπὶ τὴν παρθένον
15 ἰόντος εἰ σάλος γένηται, Ἑλλάς, Ἀχαΐα, Κρήτη, Βαβυλών, Μεσοποταμία, Ἀσσυρία τε καὶ Κυκλάδες νῆσοι οὐ B μετρίαις περιπεσοῦνται συμφοραῖς· χάσματα γὰρ κατ' αὐτὰς γενήσεται, οἵ τε γονεῖς θρηνήσονται τοὺς ἑαυτῶν παῖδας· οὐχ ἥκιστα δὲ χειμῶνες ξηροὶ καὶ παρ-
20 θένων ἀνδραποδισμοί. ἡ δὲ ἐλαία πρὸς τοῖς ἄλλοις
354 τοῦ φθινοπώρου καρποῖς ἐπιτεύξεται. τὰ δὲ κακὰ ταῖς θηλείαις μᾶλλον τῶν ζῴων ἢ τοῖς ἄρρεσι συμβήσεται, ὅτι θῆλυ ζῴδιον ἡ παρθένος.

1 ἐὰν — ἀγαθὸν] om. *AP* | post σάλος add. γῆς *L* ‖ 2 φοινίκη πᾶσα καὶ ὀρχηνία *LP* ‖ 3 τε om. *L* | καὶ Γάλλοις] γάλοις *LP* ‖ 4 λιβύη πᾶσα *L* | γὰρ] δὲ *L* ‖ 5 λοιμῷ *P* | φθαρήσονται *AP* ‖ 6 ὁ δέ γε βροῦχος *AP* | τοὺς καρποὺς *L* ‖ 7. 8 πάντων ἐγγυμνωθῆναι *PRS* ‖ 8 ante ἐν add. τοῖς *P* ‖ 9 φοινικώτεροι *L* ‖ 10 φαίνεσθαι om. *L* | πυρὸς *C* ‖ 11 πλείονος αἴσθονται *L* ‖ 12 μᾶλλον *L* | προσανίσχοντες ἡλίῳ *A* ‖ 13 post λέων add. ἐστίν *L* ‖ 14 ἡλίου — ἰόντος (15)] om. *ALP* ‖ 15 εἰ — γένηται] om. *A* | βαβυλωνία *L* ‖ 16 τε καὶ] om. *ALP* ‖ 17 μετρίοις *A*, μετρίως *L* | πεσεῖται *L* ‖ 18 γενήσονται *L* | οἵ τε] καὶ οἱ *L* | θρηνήσουσι *ALPR* ‖ 23 post ζῴδιον add. ἐστὶν *L*

C 57. Ἥλιος ἐν ζυγῷ. εἰ κατὰ τόδε καιροῦ σεισμὸς γένηται, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Βακτρία, Κασπία, Σηρική, ἐπὶ δὲ Λιβύης Τρωγλοδυτικὴ Θῆβαί τε Αἰγύπτιαι καὶ πρὸς αὐταῖς Ὄασις οὐ μετρίως στυγνάσουσιν. οἱ γὰρ κρατοῦντες καταπράξονται τῶν εἰρη- 5 μένων χωρίων, ὡς ἐξ ἀπογνώσεως τὸ πλῆθος ἐπαναστῆναι αὐτοῖς. τὰ δὲ ἱερὰ παραβαθήσεται οὕτω βεβήλως ὡς μηδένα τυχεῖν τῶν εὐχῶν. καὶ οἱ μὲν αὐτόχθονες πόρρω που τῶν ἐνεγκουσῶν ἐλαθήσονται, στρατεύμασι D δὲ βαρβαρικοῖς οἱ εἰρημένοι ταραχθήσονται τόποι. 10 λιμὸς ἄρα· πῶς γὰρ οὐχί; καὶ ἐλαττουμένης πανταχοῦ τῆς ἀνδρικῆς φύσεως, ὅτι ἄρρεν ζῴδιον ὁ ζυγός.

Ἥλιος ἐν σκορπίῳ. ἐπὶ τὸν σκορπίον ἡλίου 198 A διαβαίνοντος εἰ σάλον γενέσθαι συμβαίη, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Συρία μέση ἤτοι Κομμαγηνὴ καὶ Κασπία, 15 ἐπὶ δὲ Εὐρώπης Ἰταλία καὶ Τυρσηνία καὶ ἕως δύνοντος ἡλίου Μαυρουσία τε καὶ Γαιτουλία ἐμπρησμοῖς ἀσχέτοις ἐκτεφρωθήσονται, οὐδ᾽ αὐτῶν τῶν ἱερῶν περισωζομένων τοῖς τόποις. πόλεμοί τε ἔσονται ἀτυχεῖς τῇ νεολαίᾳ, ἐπικερδεῖς δὲ τοῖς στρατηγοῖς· βάρ- 20 B βαροι δὲ καθέξουσι Ῥωμαίοις ἀνήκοντα χωρία. πλείων

1 εἰ — γένηται (2)] om. *AP* ‖ 2 βακτριανὴ *L* | Κασπία] fortasse Κασία cf. p. 61, 7 ‖ 3 Συρία *R* ‖ 4 αὐτὰς *L* ‖ 6 ὡς ἐξ] ὥστε *L* ‖ 5 an καταπροΐξονται? ‖ 6. 7 ἐπαναστήσεται *A* ‖ 7 παραβαθήσονται *A*, παραβλαβήσονται *L* ‖ 9 ἐνεγκουσῶν] cf. Lyd. de magistr. III 26 ‖ 9. 10 γράμμασί (corr. ex κάμμασί) τε βασιλικοῖς *L* ‖ 11 λοιμὸς *AP* | ante ἄρα add. οὖν *CLR* ‖ 11. 12 ἐλαττωθήσεται πανταχοῦ ἡ ἀνδρικὴ φύσις *L* ‖ 12 post ζῴδιον *L* add. ἐστὶν ‖ 13 ἐπὶ — συμβαίη (14)] om. *AP*, εἰ σάλος γῆς γενήσεται *L* ‖ 15 ἄνω om. *L* | ἤτοι] ἢ *A* | κώμης ἀγίνη *C* ‖ 18 ἐκτεφρωθήσεται *P* ‖ 21 καθέξωσιν *C* | Ῥωμαίοις post ἀνήκοντα χωρία transponunt *AP* | προσανήκοντα *L* ‖ 21 — p. 115, 1 πλείον δὲ κατὰ τῶν γυναικῶν ἐν τοῖς πράγμασιν ἡ ζημία ἔσεσθαι *L*

δὲ ἡ κατὰ γυναικῶν τοῖς πράγμασι ζημία, ὅτι θῆλυ ζῴδιον ὁ σκορπίος.

355 Ἥλιος ἐν τοξότῃ. ὅταν ὁ ἥλιος ἐπὶ τὸν τοξότην ἔλθῃ, εἰ σεισμὸν συμβαίη γενέσθαι, ἐπὶ μὲν τῆς με-
5 γάλης Ἀσίας τῇ εὐδαίμονι Ἀραβίᾳ, ἐπὶ δὲ τῆς Εὐρώπης Τυρσηνίᾳ, Κελτικῇ καὶ Ἱσπανίᾳ βλάβαι οὐχ αἱ τυχοῦσαι συμβήσονται. φθαρήσεται γὰρ λιμῷ τὰ βοσκήματα, ὁ δὲ ὠκεανὸς παρὰ τὸ πεφυκὸς ἐκχυθήσεται ὡς καὶ αὐτὴν Κάλπην ἐπικλυσθῆναι, πόλεις τε κα- C
10 τομβρίᾳ κινδυνεύσουσιν. ἡ δὲ ἀνδρεία φύσις ἐξ ἐνδείας τῶν ἀναγκαίων πανταχοῦ φθαρήσεται, ὅτι ἄρρεν ζῴδιον ὁ τοξότης.

58. Ἥλιος ἐν αἰγόκερῳ. ὅταν δὲ ἥλιος ἀποστρέφων ἀπὸ τοῦ νοτίου καμπτῆρος ἐπὶ τὸν αἰγόκερων
15 ἔλθῃ, εἰ σεισμὸν συμβαίη γενέσθαι, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας πᾶσα ἡ Ἰνδικὴ Ἀριανή τε καὶ Γεδρωσία, ἐπὶ δὲ τῆς κάτω Φρυγία τε πᾶσα καὶ Ἑλλήσποντος, ἐπὶ D δὲ τῆς Εὐρώπης Μακεδονία καὶ Θράκη πρὸς τῷ Ἰλλυρικῷ ἕως Ἴστρου ποταμοῦ οὐ μετρίως ταραχθή-
20 σονται πρὸς τῶν πλησιοχώρων, καὶ οἱ χείμαρροι τὰ λήϊα καταχώσουσι, προσεπιλιμωττόντων τῶν βοσκη-

2 ante *ζῴδιον* add. *τὸ P* | post *ζῴδιον* add. *ἐστὶν L* || **3. 4** *ὅταν — γενέσθαι*] om. *AP* | *ὅταν — ἔλθῃ*] om. *L* || **4** *εἰ — γενέσθαι*] om. *C*, *ἐὰν σεισμὸς γεννήσεται L* || **4. 5** *μεγάλης*] *μέσης L* || **5** *ἡ εὐδαίμων ἀραβία LP* || **6** *τυρσηνία, κελτικὴ καὶ ἰσπανία LP* || **6. 7** *βλάβαις ἐν αὐταῖς οὐ ταῖς τυχούσαις περιπεσεῖται L* || **7** *φθαρήσονται L* || **9** *Κάσπιν R* || **10** *ἥ τε ALP* | *ἀνδρῶα AP* || **11** ante *ζῴδιον* add. *τὸ C* || **12** post *τοξότης* add. *L ἐστίν* || **13** *ὅταν — γενέσθαι* (15)] om. *AP* | *ὅτε L* | *ὁ ἥλιος L* || **15** *σεισμὸς γέννηται L* || **16** *ἡ Ἰνδικὴ*] *ἰδικὴ L* | *ἀδριανή AP*, *ἀνδριανή L* | *καὶ* om. *LP* | *γεδρουσία APR*, *γερουσία L* || **17** *τε* ante *πᾶσα* om. *AP* || **18** *τῆς* om. *L* | *Θράκη καὶ Μακεδονία L* | *καὶ* ante *Θράκη* om. *AP* || **19. 20** *ταραχθήσονται* post *πλησιοχώρων* transponit *L* || **20** *πρὸς*] *παρὰ L* || **21** *προσεπιλοιμωττόντων CLR*

200 A μάτων. ἐμφύλιοί τε πόλεμοι ἔσονται, ὀνείρων δὲ καὶ μαντευμάτων ψευδῶν ὄχλος· ἐνιαχοῦ δὲ καὶ πόλεις ἀθρόως καταποντισθήσονται.

Ἥλιος ἐν ὑδροχόῳ. ἡλίου ἐπὶ ὑδροχόον ἰόντος εἰ γένηται σεισμός, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Ὀξιανή, 5 Σογδιανή, Ἀραβία μικρὰ καὶ Ἀζανία, ἐπὶ δὲ τῆς Λιβύης Αἰθιοπία μικρά, τῆς δὲ Εὐρώπης ἡ Θρᾴκη ἕως Ἰλλυρικοῦ σφόδρα ταραχθήσονται· πόλεμοι γὰρ βαρεῖς B ἐπιπεσοῦνται ταῖς χώραις. τῇ δὲ Μακεδόνων χώρᾳ 356 τὰ χείριστα συμβήσεται, ὡς ἐγγὺς ἀφανισμοῦ γενέσθαι. 10

Ἥλιος ἐν ἰχθύσιν. ὅταν δὲ ⟨ἐν⟩ ἰχθύσι γένηται ἥλιος, ἐὰν συμβῇ σάλος, ἐπὶ μὲν τῆς κάτω Ἀσίας ἡ καθ' ἡμᾶς Λυδία Κιλικία τε καὶ Παμφυλία, ἐπὶ δὲ Λιβύης Νασαμωνῖτις καὶ Γαραμαντικὴ ὑπὸ πολεμίων ξένων τε καὶ ἐμφυλίων δῃωθήσονται. αἱ δὲ πρὸς τῷ 15 Πόντῳ κείμεναι πόλεις καὶ τὰ ἐπίνεια πειρατικαῖς C ἐφόδοις ταραχθήσονται, οἱ δὲ δῆμοι τῶν εἰρημένων χωρῶν μηδεμιᾶς ὑποκειμένης αἰτίας κατ' ἀλλήλων ἐξενεχθήσονται· κατομβρίαι τε ἔσονται οὐχ ἧττους κατακλυσμοῦ, καὶ εὐχαὶ ἄπρακτοι καὶ ἔνδεια τροφίμων 20 καρπῶν. ἐκ δὲ τῆς περὶ τὴν γῆν ὑγρότητος ὁ σπόρος

2 ψευδῶν scripsi pro ψευδὴς | ante ὄχλος add. ὁ *C* | καὶ ante πόλεις om. *AP* ‖ 4 ἡλίου — ἰόντος] om. *ALP* ‖ 5 εἰ — σεισμὸς] om. *AP*, εἰ σεισμὸς γένηται *L* | Ὀξιανὴ corr. H. coll. p. 258[C], ὀξινι *C*, ὀξίνη *ALPR* ‖ 6 Σογδιανὴ corr. H. coll. p. 258[C], σουβδιανη *C*, σουγδιανὴ *APR*, om. *L* | καὶ Ἀζανία om. *L*; ἀζονία *AP* | ἐπὶ — μικρὰ (7)] addidi ex *P* et *L* (qui tamen habet αἰθιοπίαι μικραί) ‖ 10 χείρονα *L* | γενέσθαι] ἔσται *APR* ‖ 11 ὅταν — ἥλιος (12)] om. *ALP* ‖ 12 ἐὰν σάλος γῆς γένηται *L* | ἐὰν] εἰ *CPR* ‖ 13 δὲ post ἐπὶ addidi cum *ALP* ‖ 14 νασαμανίτης *L* ‖ 15 ξένων om. *L* | τε transponunt ante ξένων *AP* | διωχθείσονται *L* | τῷ om. *L* ‖ 16 Πόντῳ] πόντον γαλατία *L* | τὰ ante ἐπίνεια cum *L* addidi ‖ 18 ἐπικειμένης *R* ‖ 20 καὶ ante ἔνδεια om. *AP* | τροφῶν *L* ‖ 21 ante καρπῶν add. τε καὶ *A*, καὶ *L*, τε *P* | ὑγρότης *C*

ἄχρηστος, ἡ δὲ θάλασσα ταραχώδης καὶ ἐγγὺς ἄπλους. ἐκ δὲ παραδόξου μετ' οὐ πολὺ τὰ πράγματα ἐπὶ τὸ βέλτιον ἔσται, καὶ συντόμως εἰπεῖν ἀναλόγως τοῖς κακοῖς εὐφροσύνη.

---

357 ΕΦΗΜΕΡΙΣ ΤΟΥ ΠΑΝΤΟΣ ΕΝΙΑΥΤΟΥ 202

6 ΕΚ ΤΩΝ ΚΛΩΔΙΟΥ ΤΟΥ ΘΟΥΣΚΟΥ

ΚΑΘ' ΕΡΜΗΝΕΙΑΝ ΠΡΟΣ ΛΕΞΙΝ

ΙΑΝΟΥΑΡΙΟΣ A

59. *α'. Καλένδαις μακραὶ ἡμέραι ἄρχονται· ὁ ἥλιος*
10 *ὑψοῦται, ὁ δ' ἀετὸς σὺν τῷ στεφάνῳ δύεται καὶ ποιεῖ χειμῶνας.*

1 ἄπλους] sic etiam *R*, sed prim. man. superscr. ἄπλωτος || 2 μεθ' οὐ *P* || 3 βέλτερον *A* || 5 sqq. Clodii Tusci calendarium extat etiam in *D* (fasc. 5 fol. 1, in quo admodum est decurtatum et desinit 19. novembr.: eius scripturas non apposui), *F* (fol. 124 rect.), *R* (fol. 74 rect.), *S* (fol. 17 vers.), item in codicibus a me non collatis, Parisino Reg. 3084 et Barberino II 15 n. 277 saec. XV (qui 3. die Iulii expl.). Latina praeterea extat interpretatio Leoniceni (vide proleg.) || 5—7] μερικὴ παρατήρησις περὶ ἀνέμων καὶ τῶν ἐτησίων ἀνέμων *D*; περὶ ἐπιτελλόντων (ἐπιτελλομένων Paris.) καὶ δυόντων ἀστέρων καὶ ἐφημερίδων καλουμένων καὶ ἐν ταῖς ἀνατολαῖς καὶ δύσεσιν αὐτῶν ποιούντων ἀνέμους, ταραχὰς καὶ βίας θαλάσσης, ὄμβρους τε καὶ εὐδίας καὶ ὅσα ἄλλα τοιαῦτα· γίνονται δὲ ταῦτα ἐκ τῶν φαινομένων ἀστέρων *F* et Paris. 3084 (qui tamen post haec add. supra scriptum titulum) || 5 ἐφημερὶς scripsi pro ἐφήμερος | post ἐνιαυτοῦ delevi ut interpretamentum verba ἤγουν (ἤγουν om. Barb.) σημείωσις ἐπιτολῶν (ἐπὶ ἀνατολῶν Barb.) τε καὶ δυσμῶν τῶν ἐν οὐρανῷ φαινομένων, quae leguntur in *CRS*, in Barb. et Paris. || 6 Κλωδίου scripsi coll. infra p. 256 *C* pro Κλαυδίου || 8 'Ιανουάριος] μηνὶ 'Ιαννουαρίῳ *F* et sic semper; semper etiam pro Καλενδ. formis habet καλανδ. || 9. 10 Lyd. de mens. IIII 8 ἰστέον κατὰ τὴν ἡμέραν τῶν καλενδῶν (Ianuar.) τὸν ἥλιον ἐφ' ὕψους γίνεσθαι, τὸν δὲ στέφανον δύεσθαι ὄρθρον. || 9 μακραὶ—ἄρχονται] addidi ex *F*, *longiusculi fiunt dies* add.

β'. τῇ πρὸ δ' νωνῶν Ἰανουαρίων ὁ μὲν ἥλιος πηδᾷ, τὸ δὲ μέσον τοῦ καρκίνου δύεται, καὶ οἱ ἄνεμοι ἐναλλάττονται.

γ'. τῇ πρὸ γ' νωνῶν τὸ λοιπὸν τοῦ καρκίνου δύεται, καὶ τροπὴ τοῦ ἀέρος ποικίλη. 5

B δ'. τῇ πρὸ α' τὸ μέσον τοῦ χειμῶνος καὶ νότος πολύς, εἶτα καὶ βορραῖ συνεχεῖς. καὶ ὁ δελφὶν ἀνίσχει ἅμα τῷ κυνὶ περὶ τὸν ὄρθρον.

204 A ε'. νώναις Ἰανουαρίαις ἡ λύρα ἀνίσχει, καὶ ὁ μὲν ἀετὸς δύεται, ὁ δὲ δελφὶν ὅλος ἐπιτέλλει. καὶ εἰκότως 10 ἀνεμομαχία.

ς'. τῇ πρὸ η' εἰδῶν Ἰανουαρίων ἐν μὲν ἑσπέρᾳ ὁ ἀετὸς δύεται, νότος δὲ πνεῖ.

ζ'. τῇ πρὸ ζ' εἰδῶν ἀπαρκτίας καὶ βορέας κατ' 358 ἀλλήλων μάχονται. 15

Leon. ‖ **p. 117, 10** Gem. 9. capric. = 1. Ian. *Εὐδόξῳ στέφανος ἀκρόνυχος δύνει.* ‖ **p. 117, 10. 11** *καὶ — χειμῶνας*] addidi ex *F*, *tempestatemque efficiunt* add. Leon. ‖ **p. 118, 2** Ovidio fast. I 313 *bracchia cancri* occidunt; vide diar. antiqu. 1846 p. 250 | *ὁ δὲ μέσος F* ‖ **2. 3** *ἐναλλάττονται*] *ἐλαττοῦνται F*, *ponunt* Leon. ‖ **4** et **5** Columella XI 2, 97. *III non. Ianuar. cancer occidit; tempestas varia.* ‖ **6—8** Columella l. s. *pridie non. Ian. media hiemps, auster multus, interdum pluvia.* Gemin. 12. capric. = 4. Ian. *Δημοκρίτῳ νότος πνεῖ ὡς ἐπὶ πλεῖστα. Εὐδόξῳ δελφὶς ἑῷος ἐπιτέλλει.* ‖ **7** *βορραῖ συνεχεῖς*] *βορρεῖς συνεχεῖς F* | Plin. XVIII 234 *pridie nonas Ianuarias Caesari delphinus matutino exoritur.* Aet. *μηνὶ Ἰανουαρίῳ δ̄ δελφὶς ἐπιτέλλει.* | *καὶ ὁ*] *ὁ δὲ F* | *δελφὶν* corr. Hercher pro *δελφὶς*, qua forma ceteroquin non usus sit Lydus ‖ **8** *ἅμα*] *σὺν F* | *τὸν ὄρθρον*] *τῶν βορρῶν F* ‖ **9—11** Columella l. s. *non. Ian. fidis exoritur mane, tempestas varia.* Nonis Ianuariis Caesari (Plin. l. s.) et Ovidio I 315 fidicula mane exoritur. ‖ **9. 10** Aet. *μηνὶ τῷ αὐτῷ* (Ian.) *ε̄ ὁ ἀετὸς ἑσπέριος δύνει.* Ptolem. 9. Tybi = 4. Ian. (i. e. antec. die) *ὥρᾳ ιε̄ ς'' ὁ λαμπρὸς τοῦ ἀετοῦ ἑσπέριος δύνει.* ‖ **10** *δελφὶς F* | *εἰκότως*] *γίγνονται F* ‖ **14** *ἄπαρκτος C* ‖ **14. 15** *κατ' ἀλλήλων μάχονται* scripsi ex *F*, *vehementer flantes concurrunt* Leon., *κατ' ἀλλήλων R*, *κατάλληλος CS*

η΄. τῇ πρὸ ϛ΄ εἰδῶν οἶκος Ἄρεως· νότος ἅμα καὶ ζέφυρος· ὁ δὲ αἰγόκερως ἄρχεται ⟨ἀνατέλλειν⟩. βροχή B τε ἅμα καὶ ἐν ἑσπέρᾳ νότος πυκνός.

θ΄. τῇ πρὸ ε΄ εἰδῶν νότος φυσᾷ σύνομβρος.

5 ι΄. τῇ πρὸ δ΄ εἰδῶν ὁμοίως· ὁ δὲ νότος βιαιότερος.

ια΄. τῇ πρὸ γ΄ εἰδῶν ἀπαρκτίας μετὰ βροχῆς καὶ χιόνος.

ιβ΄. τῇ πρὸ α΄ εἰδῶν νότος πνεῖ.

ιγ΄. εἰδοῖς Ἰανουαρίαις ἄστρον κρυπτόν. καὶ πρῶ- C
10 τον μὲν λόγος τὸν ὀϊστὸν δύεσθαι, ἐν δὲ τῇ νυκτὶ βρέχειν.

ιδ΄. τῇ πρὸ ιθ΄ καλενδῶν Φεβρουαρίων ἄστρον κρυπτόν, καὶ ποικίλη τροπὴ βορέου ἅμα καὶ ἀπαρκτίου. καὶ ὁ μὲν λέων ἄρχεται δύεσθαι, ἔσθ᾽ ὅτε δὲ
15 βρέχει.

ιε΄. τῇ πρὸ ιη΄ καλενδῶν ἀπαρκτίας καὶ βορρᾶς σφοδρός.

1 Columella l. s. *VI id. Ian. auster, interdum favonius.* ‖ **2** Gemin. 15. capric. = 7. Ian. (i. e. anteced. die) *Καλίππῳ αἰγόκερως ἄρχεται ἀνατέλλειν· νότος* | *ἀνατέλλειν* addidi, Leon. add. *emergere* | *βροχή τε* om. *F* ‖ **3** *νότος πυκνός*] *caligo* Leon. **4** Columella l. s. *V id. Ian. auster, interdum imber.* Ptolem. 14 Tybi = 9. Ian. *Αἰγυπτίοις καὶ Εὐδόξῳ νότος σφοδρὸς καὶ ὑετός.* | *φυσᾷ σύνομβρος*] sic scripsi ex *F*, *flat cum pluvia* Leon., *καὶ ὄμβρος* ceteri ‖ **5** Gemin. 18. capric. = 10. Ian. *νότος πνεῖ.* Ptolem. 15 Tybi = 10. Ian. *Αἰγυπτίοις καὶ Καίσαρι νότος πολύς.* | *ὁμοίως — βιαιότερος*] *νότος σύνομβρος πλείος F*, *pluvius flat auster violentior* Leon. ‖ **6. 7** *βροχῆς καὶ χιόνος*] *πολλῶν βροχῶν καὶ χειμῶνος φυσᾷ F*, *multo imbre et aspera tempestate flat.* Leon. ‖ **9** *καὶ — δύεσθαι* (10)] *prima mali pars occidit* Leon. ‖ **9. 10** *πρῶτον*] videtur vertere *prima nocte* ‖ **10** *λόγος* om. *F* | praeter usum hic *λόγος* et p. 124, 4 *φασι* dictum est idque solum de 'sagitta'; an falso intellectis v. *quam dicunt* (cf. p. 123, 19; 125, 1)? | *ὀϊστὸν* corr. H. pro *ἱστὸν* ‖ **14** *ἔσθ᾽ — βρέχει* (15)] *καὶ βρέχειν F*, *pluviae fiunt* Leon. ‖ **17** *σφοδρός* corr. pro *σφοδρῶς* H.; *vehementes flant* Leon.

D ιϛʹ. τῇ πρὸ ιζʹ καλενδῶν ὁ μὲν ἥλιος ⟨ἐν⟩ ὑδροχόῳ, εὖρος δὲ μετὰ βροχῆς.

ιζʹ. τῇ πρὸ ιϛʹ καλενδῶν ἡ μὲν λύρα ἄρχεται δύεσθαι, περὶ δὲ τὸν ὄρθρον ἀνεμομαχία.

206A ιηʹ. τῇ πρὸ ιεʹ καλενδῶν ἕωθεν μὲν δύεται ὁ 5 λέων. βορέου ἅμα καὶ νότου καὶ ἀπαρκτίου διαφορά, καὶ βροχή. ὁ δὲ δελφὶν μετὰ λέοντα δύεται.

ιθʹ. τῇ πρὸ ιδʹ καλενδῶν τροπή, καὶ τὸ μεσαίτατον τοῦ χειμῶνος.

κʹ. τῇ πρὸ ιγʹ καλενδῶν βορρᾶς καὶ νότος. καὶ 10 τὸ μέσον μὲν τοῦ καρκίνου δύεται, ὁ δὲ ὑδροχόος ἄρχεται ἀνίσχειν.

B καʹ. τῇ πρὸ ιβʹ καλενδῶν ὁ ὑδροχόος παντελὴς 359 ἀνίσχει, πνεῖ δὲ ὁ λίψ, καὶ ὕει.

κβʹ. τῇ πρὸ ιαʹ καλενδῶν ἡ λύρα δύεται σὺν τῷ 15 καρκίνῳ, καὶ πρὸς ἑσπέραν ὕει.

1 Colum. XI 2, 4 *XVII cal. Febr. sol in aquarium transit; africus, interdum auster cum pluvia.* | ἐν addidi ‖ **3** μὲν om. *F* ‖ **4** δὲ om. *F* ‖ **6** Ptol. 23. Tybi = 18. Ian. *Μητροδώρῳ ἀκαταστασία ἀέρος.* ‖ **7** καὶ βροχή corr. pro καὶ βροχῆς Hercher, μετὰ βροχῆς coni. H. | ὁ δὲ δελφὶν] Lyd. de mens. IIII 14 *πρὸ δεκαπέντε Καλενδῶν Φεβρουαρίων ὁ Δημόκριτος λέγει δύεσθαι τὸν δελφῖνα.* | λέοντα] τοῦ λέοντος *F* ‖ **8. 9** μεσότατον *F* ‖ **10—12** Lyd. de mens. IIII 14 *πρὸ δεκατριῶν καλενδῶν Φεβρουαρίων ὁ μὲν Εὐκτήμων τὸν καρκίνον δύεσθαι, ὁ δὲ Κάλλιππος τὸν ὑδροχόον ἀνίσχειν λέγει . . βήσσαις καὶ χαράδραις τῶν ὀρῶν.* | Gemin. 27. capric. = 19. Ian. (i. e. antec. die) *Καλίππῳ καρκίνος λήγει δύνων.* ‖ **13** Colum. l. s. *XII cal. Febr. aquarius incipit oriri, ventus Africus;* cf. Polem. Silv. 21. Ian. Lyd. de mens. IIII 14 *πρὸ δεκαδύο καλενδῶν Φεβρουαρίων Εὔδοξος τὸν ὑδροχόον ἀνίσχειν λέγει.* | παντελῶς *F* ‖ **14** δὲ om. *F* ‖ **15** et **16** Colum. l. s. *XI cal. Febr. fidicula vespere occidit, dies pluvius;* cf. Polem. Silv. 22. Ian.; lyrae occasus vespertinus apud Ovid. I 653 ‖ **16** cf. Lyd. de mens. IIII 14 *πρὸ δεκαμιᾶς καλενδῶν Φεβρουαρίων . . . ὁ Εὔδοξος (λέγει) ἀνίσχειν αὐτὸν (τὸν ὑδροχόον) καὶ βροχὰς σημαίνειν.*

κγ΄. τῇ πρὸ ι΄ καλενδῶν βορρᾶς πνεύσει μετὰ βροχῆς.

κδ΄. τῇ πρὸ θ΄ καλενδῶν χειμὼν καὶ βορέου ἐπίτασις ἅμα καὶ εὔρου.

5 κε΄. τῇ πρὸ η΄ καλενδῶν ὡσαύτως. C

κς΄. τῇ πρὸ ζ΄ καλενδῶν χειμάζει, πνεῖ δὲ ὁ βορρᾶς σὺν τῷ εὔρῳ, καὶ ἄρχεται δύεσθαι ἡ λύρα.

κζ΄. τῇ πρὸ ς΄ καλενδῶν ἄστρον λαμπρὸν ἐν τῷ στήθει τοῦ λέοντος ἄρχεται δύεσθαι, ἡ δὲ λύρα ἐν 10 ἑσπέρᾳ. καὶ βορρᾶς πνεῖ, ἔστι δ' ὅτε καὶ ὕει.

κη΄. τῇ πρὸ ε΄ καλενδῶν ἀνεμομαχία μετὰ χιόνος. D

κθ΄. τῇ πρὸ δ΄ καλενδῶν ὁ δελφὶν δύεσθαι μελετᾷ.

λ΄. τῇ πρὸ γ΄ καλενδῶν ἡ λύρα περὶ τὴν πρώτην 208 A φυλακὴν τῆς νυκτὸς ἄρχεται δύεσθαι ἐκ μέρους. καὶ 15 συννέφεια ἔσται, καὶ σφοδρὸς βορρᾶς μετὰ βροχῆς.

λα΄. τῇ πρὸ α΄ καλενδῶν Φεβρουαρίων ὑετὸς χιόνι μεμιγμένος.

4 εὔρου *FR*, εὖρος *CS* ‖ 5 Colum. XI 2, 5 *VIII cal. Febr. . . interdum etiam tempestas.* cf. Polem. Sil. 25. Ian. | ὡσαύτως] *tempestas turbidior; eidem flant venti* Leon. ‖ 6 χειμάζει] Ptolem. 1. Mechir = 26. Ian. Δοσιθέῳ χειμαίνει. ‖ **6. 7** post lacunam χειμάζει βορρᾶς et spatium c. 30 litter. in *F* ‖ **8—10** Colum. l. s. *VI cal. Febr. leonis quae est in pectore clara stella occidit.* ‖ **10** καὶ βορρᾶς] om. *C* | ὅτι *C* ‖ **11** ἀνεμομαχίαν *C* ‖ **12** Aet. μηνὶ τῷ αὐτῷ (Ian.) $\overline{κη}$ (i. e. antec. die) δελφὶς ἑσπέριος δύνει. ‖ **13** Colum. l. s. *III cal. Febr. . . fidicula occidit.* Aet. μηνὶ τῷ αὐτῷ (Ian.) $\overline{κθ}$ (i. e. antec. die) λύρα ἑσπέριος δύνει. ‖ **15** συννέφεια corr. Hercher pro συννεφία hic et semper infra | καὶ σφοδρὸς] σφοδρῶς τε *F* ‖ **16. 17** Ptolem. 6. Mechir = 31. Ian. Εὐδόξῳ ὑετός.

ΦΕΒΡΟΥΑΡΙΟΣ

B 60. α΄. καλένδαις Φεβρουαρίαις κρυπτὸν ἄστρον, νότος καὶ εὖρος· καὶ ἡ λύρα ἄρχεται δύεσθαι.

β΄. τῇ πρὸ δ΄ νωνῶν Φεβρουαρίων θυελλώδης ὁ ἀήρ, καὶ παραπνεύσει ὁ ζέφυρος. 5

γ΄. τῇ πρὸ γ΄ νωνῶν τὸ μέσον τοῦ λέοντος σὺν τῇ λύρᾳ δύεται. ἀπαρκτίας δὲ ἅμα καὶ βορρᾶς.

δ΄. τῇ πρὸ α΄ νωνῶν δύεται ὁ δελφίν· καὶ ἐν 360 ἑσπέρᾳ νότος ἐπιτείνει μετὰ βροχῆς.

C ε΄. νώναις Φεβρουαρίαις τοῦ ὑδροχόου τὰ μέσα 10 ἀνίσχει· ταραχώδης δὲ ὁ ἀὴρ ἐκ τοῦ ζεφύρου.

ς΄. τῇ πρὸ η΄ εἰδῶν Φεβρουαρίων δύεται ἡ λύρα, καὶ ὁ ζέφυρος ἀπὸ δυσμῶν πνεῖ.

ζ΄. τῇ πρὸ ζ΄ εἰδῶν ἀρχὴ ἔαρος, καθ' ὃ ζέφυρος πνεῖ. 15

η΄. τῇ πρὸ ς΄ εἰδῶν ζέφυρος σὺν τῷ βορρᾷ πνεῖ.

2. 3 Colum. 14 *cal. Febr. fidis incipit occidere, ventus eurinus et interdum auster cum grandine est.* Gemin. 11. aquar. = 1. Febr. *Εὐδόξῳ λύρα ἀκρόνυχος δύνει.* ‖ **2** post *ἄστρον* add. *φαίνεται F*, add. *apparet* Leon. ‖ **3** post *νότος* add. *τε F* | post *εὖρος* add. *πνεῖ F*, add. *flant* Leon. ‖ **6. 7** Colum. l. s. *III non. Febr. fidis tota et leo medius occidit; corus aut septentrio, nonnumquam favonius.* ‖ **7** *λύρα*] *λιβύη C* ‖ **8** delphini occasus vespertinus ap. Ovid. II 79 | *ὁ* addidi ex *F* ‖ **9** *ἐπιτείνει*] *ἐπιπνεῖ B* | *βροχῆς*] *βροντῆς C* ‖ **10** et **11** Colum. l. s. *non. Febr. mediae partes aquarii oriuntur; ventosa tempestas.* Ovid. II 145: *iam puer Idaeus media tenus eminet alvo.* ‖ **10** *τοῦ — ἀνίσχει* (11)] *zona Orionis emergit* Leon. ‖ **12** Ptolem. 12. Mechir = 6. Febr. *ὥρᾳ ιε ς″ ὁ λαμπρὸς τῆς λύρας ἑσπέριος δύνει.* ‖ **13** Gemin. 16. aquar. = 6. Febr. *Δημοκρίτῳ ζέφυρος πνεῖν ἄρχεται.* ‖ **14** Colum. 15 *VII id. Febr. favonii spirare incipiunt.* (cf. Polem. Silv. 7. Febr.) Gemin. 17. aquar. = 7. Febr. *Εὐκτήμονι ζέφυρον ὥρα πνεῖν. Καλίππῳ . . . ζέφυρος πνεῖ.* Ptolem. 13. Mechir = 7. Febr. *Αἰγυπτίοις καὶ Εὐδόξῳ ἔαρος ἀρχή· ζέφυρος ἄρχεται πνεῖν.* | *καθ' ὃ*] *καὶ F* ‖ **15** *πνεῖ* addidi ex *F*, *spirat* add. Leon. ‖ **16** Colum. l. s. *VI id. Febr. ventosa tempestas.* | *πνεῖ* addidi ex *F*, *spirant* add. Leon.

ϑ'. τῇ πρὸ ε' εἰδῶν ἄστρον κρυπτόν· καὶ ἀνίσχει D ὁ ὑδροχόος.

ι'. τῇ πρὸ δ' εἰδῶν ἀπαρκτίας μετὰ ζεφύρου· ἔστι δ' ὅτε καὶ βροχαί.

5 ια'. τῇ πρὸ γ' εἰδῶν ἀπηλιώτης πνεῖ, καὶ ἀνίσχει 210 A ὁ ἀρκτοῦρος.

ιβ'. τῇ πρὸ α' εἰδῶν Φεβρουαρίων ἀνεμομαχία.

ιγ'. εἰδοῖς Φεβρουαρίαις ὁ τοξότης ἐν ἑσπέρᾳ δύεται, καὶ σφοδρὸς χειμών.

10 ιδ'. τῇ πρὸ ις' καλενδῶν Μαρτίων ὁ κρατὴρ ἀνίσχει ἐν ἑσπέρᾳ, καὶ ἐναλλαγέντων τῶν ἀνέμων ὁ νότος B ἐπικρατεῖ.

ιε'. τῇ πρὸ ιε' καλενδῶν ὁ ἥλιος ⟨ἐν⟩ ἰχθύσιν, καὶ ὁ ἀὴρ χειμαίνει.

15 ις'. τῇ πρὸ ιδ' καλενδῶν ἀπαρκτίας πνεύσει μετὰ τοῦ νότου· νέος δὲ ἥλιος.

ιζ'. τῇ πρὸ ιγ' καλενδῶν δύεται ἡ παρθένος· ῥεύσει δὲ νότος μετὰ ζεφύρου καὶ βορρᾶς.

ιη'. τῇ πρὸ ιβ' καλενδῶν δύεται ὁ λεγόμενος ὀϊστός.

5 arcturi ortus vespertinus apud Ovid. II 153 ‖ **8. 9** Colum. 20 *id. Febr. sagittarius vespere occidit; vehementer hiemat.* Gemin. 25. aquar. = 15. Febr. (i. e. duobus dieb. post) *Εὐκτήμονι τοξότης ἑσπέριος δύνει.* ‖ **10—12** Colum. l. s. *XVI cal. Mart. vespere crater oritur; venti mutatio.* cf. Polem. Silv. 14. Febr.; apud Ovid. II 245 crateris ortus vespertinus ‖ **11. 12** *ἐναλλαγέντων κτλ.*] Ptolem. 21. Mechir = 15. Febr. (i. e. postridie) *Αἰγυπτίοις ἄνεμοι μεταπίπτοντες.* ‖ **13. 14** Colum. l. s. *XV cal. Mart. sol in pisces transitum facit; nonnumquam ventosa tempestas.* ‖ **13** *ἐν* addidi ‖ **14** *χειμαίνει* scripsi pro *χειμών*; *hiemat* Leon. ‖ **17** *δύεται ἡ παρθένος*] *virgo occidit iuxta geminos* Leon. ‖ **17. 18** Colum. 21 *XIII et XII cal. Mart. favonius vel auster cum grandine et nimbis.* cf. Polem. Silv. 17. Febr. ‖ **19** *ὁ λεγόμενος ἱστὸς ἐν ἑσπέρᾳ· ζέφυρος πνεῖ F*, *malus vesperi occidit; favonius spirat* Leon. | *δύεται*] sic etiam 19. et 27. Febr.; sed ortus est ap. Colum. 21 ad 22. Febr.

C ἐν ἑσπέρᾳ δὲ ζέφυρος πνεῖ, καὶ ἄρχεται ἡ παρθένος δύεσθαι.

ιθ'. τῇ πρὸ ιά καλενδῶν ἀπαρκτίας ῥεύσει μετὰ 361 νότου· τὸν δὲ ὀϊστόν φασι δύεσθαι.

κ'. τῇ πρὸ ι' καλενδῶν βορρᾶς μετὰ βροχῆς. καὶ 5 ὁ λέων δύεται· ἄρχονται δὲ οἱ βορραῖ οἱ λεγόμενοι χελιδόνιοι, οἳ πεφύκασιν ἐπὶ τριάκοντα ἡμέρας πνεῖν, καὶ φαίνεται χελιδών.

D κά. τῇ πρὸ θ' καλενδῶν ὁ ἀρκτοῦρος τῇ πρώτῃ φυλακῇ τῆς νυκτὸς ἄρχεται δύεσθαι, καὶ πνεῖ ζέφυρος. 10 ἡ δὲ νὺξ συννεφής.

212A κβ'. τῇ πρὸ η' καλενδῶν τὰ λεγόμενα Ἀλκυόνεια.

κγ'. τῇ πρὸ ζ' καλενδῶν ὁ ὑδροχόος ἄρχεται ἀνίσχειν, ἡ δὲ πρωϊνὴ χειμάζει.

κδ'. τῇ πρὸ ϛ' καλενδῶν ἀργεστὴς πνεῖ ἅμα καὶ 15 βορρᾶς.

κε'. τῇ πρὸ ε' καλενδῶν ὁ ἀρκτοῦρος ἀνίσχει, καὶ ὕει.

B κϛ'. τῇ πρὸ δ' καλενδῶν ὁ ἀρκτοῦρος ἀνίσχει ἐν ἑσπέρᾳ. 20

3 ῥεύσει] πνεύσει *F*, *flant* Leon. ‖ 4 ἱστὸν *F*, *malus* Leon. ‖ 5—8 Colum. l. s. *X cal. Mart. leo desinit occidere; venti septentrionales, qui vocantur ornithiae, per dies triginta esse solent; tum et hirundo advenit.* cf. Polem. Silv. 20. Febr. ‖ 7 ἐπὶ τέσσαρας ἡμέρας *F*, *per quatriduum* Leon. ‖ 8 ἀναφαίνεται *R* ‖ 9—11 Colum. l. s. *VIIII cal. Mart. arcturus prima nocte oritur; frigidus dies aquilone vel coro, interdum pluvia.* ‖ 11 εἰ δὲ νὺξ ἀνεφής *F* ‖ 12 Colum. l. s. *VIII cal. Mart. Alcyonei dies vocantur.* ‖ 14 ἡ] εἰ *F* | προεινῇ *C*, προινή *F* ‖ 15 ἐργάτης *C*, ἐργαστής *F* ‖ 17. 18 Gemin. 4. pisc. = 24. Febr. (i. e. antec. die) Εὐδόξῳ ἀρκτοῦρος ἀκρόνυχος ἐπιτέλλει καὶ ὑετὸς γίνεται. Ptolem. 1. Phamenoth = 25. Febr. ὥρᾳ ιε ϛ'' ἀρκτοῦρος ἑσπέριος ἀνατέλλει. Aet. μηνὶ τῷ αὐτῷ (Febr.) κε ἀρκτοῦρος ἐπιτέλλει. ‖ 19. 20 Quintil. τῇ κϛ τοῦ Φεβρουαρίου ἀρκτοῦρος ἑσπέριος ἐπιτέλλει. ‖ 20 ἑσπέρᾳ scripsi pro ἡμέρᾳ

κζ'. τῇ πρὸ γ' καλενδῶν δύεται ἐν ἑσπέρᾳ ὁ παρ' Ἕλλησι λεγόμενος ὀϊστός.

κη'. τῇ πρὸ α' καλενδῶν Μαρτίων ὁ ζέφυρος πλατύς, καὶ ἡ ἡμέρα πᾶσα ἐαρινή.

5 ## ΜΑΡΤΙΟΣ

61. α'. καλένδαις Μαρτίαις νότος καὶ λίψ.

β'. τῇ πρὸ ϛ' νωνῶν Μαρτίων λίψ, καὶ ὁ τρυγητὴς C ἄρχεται φαίνεσθαι. βορέας δὲ ψυχρὸς πνεῖ ἕως τῆς ἑωθινῆς δύσεως τοῦ ἀρκτούρου.

10 γ'. τῇ πρὸ ε' νωνῶν δυσαερία καὶ βροχή· καὶ ὁ ἀρκτοῦρος ἀνίσχει ἡλίου ἐγειρομένου, καὶ βορρᾶς πνεῖ.

δ'. τῇ πρὸ δ' νωνῶν ὁ ἀρκτοῦρος ἐν ἑσπέρᾳ ἀνίσχει.

ε'. τῇ πρὸ γ' νωνῶν ὡσαύτως. D

15 ϛ'. τῇ πρὸ α' νωνῶν ὑετὸς χιόνι μεμιγμένος.

362 ζ'. νώναις Μαρτίαις δύεται ὁ ἵππος ἀπὸ πρωΐ, 214 A καὶ βορρᾶς φυσᾷ. δύεται δὲ καὶ ὁ στέφανος ὄρθρου.

1 ὁ — ὀϊστός (2)] ὁ λεγόμενος παρ' Ἕλλησιν ἰστός *F*, *malus* Leon. ‖ **6** Colum. 23 *cal. Mart. africus, interdum auster cum grandine.* | λίψ] λίβας πνεύσει *F*, *africus simul spirant* Leon. ‖ **7** et **8** Colum. 24 *IIII non. Mart. vindemiator apparet, quem Graeci* τρυγητῆρα *dicunt; septentrionales venti.* Ptolem. 6. Phamenoth = 2. Mart. Αἰγυπτίοις λὶψ . . . Ἱππάρχῳ βορέας ψυχρός. ‖ **7** λίψ, καὶ om. *F* et Leon. ‖ **12. 13** Gemin. 12. pisc. = 4. Mart. Εὐκτήμονι ἀρκτοῦρος ἑσπέριος ἐπιτέλλει. Ptolem. 8. Phamenoth. = 4. Mart. ὥρᾳ $\overline{\iota\delta}$ ϛ' ἀρκτοῦρος ἑσπέριος ἀνατέλλει. | ὁ — ἀνίσχει] ὡσαύτως ἀρκτοῦρος ἐπιτέλλει *F*, *arcturus similiter emergit.* Leon. ‖ **12** ἑσπέρᾳ scripsi pro ἡμέρᾳ coll. Gemin. et Ptolem. l. s. ‖ **14** ὡσαύτως] ὁ ἀρκτοῦρος ἐν ἡμέρᾳ ἀνίσχει *F*, *arcturus interdiu emergit.* Leon. ‖ **15** ὑετὸς — μεμιγμένος] βορρᾶς καὶ συννεφία *F*, *aquilo flat, nubilosum caelum* Leon. | ante ὑετὸς del. ὁ Hercher coll. p. 121, 16 ‖ **16** et **17** Colum. l. s. *non. Mart. equus mane oritur; flatus aquilonis.* Gemin. 14. pisc. = 6. Mart. (i. e. antec. die) Εὐκτήμονι ἵππος ἑῷος δύνει·

η'. τῇ πρὸ η' εἰδῶν Μαρτίων ἄρχεται τὰ ὄρνεα φαίνεσθαι ἐπὶ τῆς θαλάσσης, βορρᾶς δὲ καὶ ἀπαρκτίας φυσᾷ, καὶ προοίμιον τοῦ ἔαρος. καὶ ὁ μὲν ἥλιος περὶ τὸ μέσον τῶν ἰχθύων, ὁ δὲ ἵππος δύεται.

B θ'. τῇ πρὸ ζ' εἰδῶν ἰκτῖνος ἄρχεται φαίνεσθαι, νότος δὲ πνεῖ, καὶ ὄρθρου ὁ ἰχθὺς ἀπὸ τοῦ νότου ἄρχεται κρύπτεσθαι.

ι'. τῇ πρὸ ς' εἰδῶν ὁ ἵππος δύεται ὄρθρου, ὁ δὲ ἰκτῖνος ἀπὸ ὑψηλῶν ἐπὶ τὰ χθαμαλὰ καθίπταται· καὶ ὁ μὲν τρυγητὴς δύεται, ὁ δὲ ἀρκτοῦρος ἀνίσχει. βορρᾶς δὲ ψυχρὸς ῥεύσει.

ια'. τῇ πρὸ ε' εἰδῶν χωρισμὸς μὲν τοῦ χειμῶνος, C τροπὴ δὲ ἀπὸ βορρᾶ καὶ ἀπαρκτίου.

ιβ'. τῇ πρὸ δ' εἰδῶν παύεται μὲν ὁ ἰχθὺς ἀπὸ τοῦ νότου ἀνίσχειν, ἀπαρκτίας δ' ἢ νότος φυσᾷ.

ἐπιπνεῖ βορέας ψυχρός. Lyd. de mens. IIII 35 *νώναις Μαρτίαις ὁ Βάρρων ὄρθρου τὸν στέφανον δύεσθαι λέγει καὶ πνεῖν τὸν βορρᾶν.* ortus vespertinus equi apud Ovid. III 449; ortus vespertinus coronae apud eund. III 459 || **p. 125, 16** pro *δύεται* Merkel proleg. Ovid. fast. p. LXX *φαίνεται* scribi perperam iubet || **p. 125, 17** pro *δύεται* Merkel l. s. coni. *φαίνεται* et pro *ὄρθρου* idem *ἑσπέρᾳ* | *ὄρθρος C* | post *ὄρθρου* add. *καὶ οιδάτων ἐπομβρᾶ F*, *aquarum de caelo pluvies* Leon. || **1** *ἄρχονται CF* || **3** Ptolem. 12. Phamenoth = 8. Mart. *Ἱππάρχῳ ἔαρος ἀρχή.* | *ἀέρος C* || **5—7** Gemin. 17. pisc. = 9. Mart. *Εὐδόξῳ . . . ἰκτῖνος φαίνεται. Καλίππῳ τῶν ἰχθύων ὁ νότιος ἐπιτέλλων λήγει.* Plin. XVIII 237 *postero die* (i. e. VII id.) . . . *in Attica milvum apparere servatur.* || **6** *δὲ*] *τε F* | *νότου*] *tergore* Leon. i. e. *νώτου*, quod probant H. et Hertzberg in diar. antiq. 1846 p. 245; sed recte Ungerus animadvertit verbis *ὁ ἰχθὺς ἀπὸ νότου* hic et v. 14 et ad 2. Sept. adhibitis male verti *piscis austrinus* || **7** pro *κρύπτεσθαι* H. coni. *φαίνεσθαι* coll. v. 15; potius Lydi ipsius confusionem statuerim || **9** *ἐπὶ τὰ χαμαὶ καθίσταται F* || **11** Ptolem. 14. Phamenoth = 10. Mart. *Αἰγυπτίοις καὶ Καλλίππῳ βορέας ψυχρὸς πνεῖ.* || **13** etiam ante *ἀπαρκτίου* add. *ἀπὸ F* | *ἀπαρκτία* codices || **14** *παύσεται F* | *ὁ* ante *ἰχθὺς* add. *F* || **15** *νότου*] *tergore* Leon.

ιγ'. τῇ πρὸ γ' εἰδῶν ἡ μὲν Ἀργὼ ἀνίσχει ἐν ἑσπέρᾳ, ζέφυρος δὲ καὶ νότος πνεύσει καὶ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ⟨δύεται⟩· χειμάζει.

ιδ'. τῇ πρὸ α' εἰδῶν βορρᾶς δι' ὅλης τῆς ἡμέρας. D

5 ιε'. εἰδοῖς Μαρτίαις ὁ ἵππος δύεται, βορέας δὲ ψυχρὸς πνεῖ.

ις'. τῇ πρὸ ιζ' καλενδῶν Ἀπριλίων ......

ιζ'. τῇ πρὸ ις' καλενδῶν ἥλιος ⟨ἐν⟩ κριῷ γίνεται· 216 A ὁ δὲ ζέφυρος κατὰ πλάτος πνεῖ. πέλαργος φαίνεται 10 καὶ μέγα πέλαγος πλέεται.

ιη'. τῇ πρὸ ιε' καλενδῶν ἀνεμομαχία, ὁ δὲ βορρᾶς ἐπικρατεῖ.

363 ιθ'. τῇ πρὸ ιδ' καλενδῶν νότος πνεῖ, ὁ δὲ ἰκτῖνος B φαίνεται ἕως τῆς ἰσημερίας.

15 κ'. τῇ πρὸ ιγ' καλενδῶν βορέας πνεῖ εὔδιος.

1 Colum. l. s. *pridie id. Mart. Argo navis exoritur; favonius aut auster, interdum aquilo.* ‖ **1. 2** ἐν ἑσπέρᾳ δὲ ζέφυρος καὶ *F* ‖ **2** καὶ ὁ ἐπὶ — χειμάζει (3) addidi ex *F*; *et in leonis cauda hiemat dies* add. Leon. | ὁ ἐπὶ τῆς κτλ.] Ptolem. 18. Phamenoth = 14. Mart. (i. e. postridie) ὥρᾳ ιδ̄ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑῷος δύνει. ‖ **3** δύεται ex coniectura addidi ‖ **4** post ἡμέρας add. πνεύσει *F* ‖ **5** Col. *prid. id. s. s.* (Mart.) . . . *interdum aquilo;* Polem. Silv. 14. Mart. *flatus aquilonis.* ‖ **7** ad 15. Mart. *F* (qui praeterea, ut assolet, scribit πρὸ ις' pro πρὸ ιζ' et sic semper, postremo πρὸ β' pro πρὸ γ') refert quae in ceteris codicibus diei 16. Mart. adscripta sunt, ad 16. quae diei 17. et sic semper usque ad finem mensis, 31. Mart. vero deest; idemque facit Leonic., sed ad 31. Mart. apud eum legitur: *ventorum procellae et saepe pluit.* in ceteris codicibus ad 15. Mart. omissus est status caeli, quem ex Columella 31 et Ovidio III 711 Merkel proleg. Ovid. fast. p. LXXI supplet σκορπίος δύεται. ‖ **8** Colum. 31 *XVI cal. April. sol in arietem transitum facit; favonius vel corus.* | ἐν addidi ‖ **9** πνεῖ — πλέεται] addidi ex *F*; *spirat, ciconia apparet et mare transmittit* add. Leon. ‖ **11** Lyd. de mens. IIII 39 πρὸ δεκαπέντε καλενδῶν Ἀπριλίων ὁ Εὐκτήμων ποικίλους ἀνέμους πνέειν λέγει. ‖ **14** ante ἕως add. Unger καὶ πνέουσιν ὀρνιθίαι coll. Gemin. 22. pisc. | ἕως — ἰσημερίας] ἐπὶ τῆς ἡμέρας *FS*, *diliculo* Leon.

B κα΄. τῇ πρὸ ιβ΄ καλενδῶν ὁ μὲν ἵππος ἕωθεν δύεται, βορέας δὲ ἢ ἀπαρκτίας πνεῖ.

κβ΄. τῇ πρὸ ια΄ καλενδῶν ὁ κριὸς εἰς πλάτος ἀνίσχει, ἔστι δ' ὅτε ἢ βρέχει ἢ νίφει.

κγ΄. τῇ πρὸ ι΄ καλενδῶν ὡσαύτως. 5

κδ΄. τῇ πρὸ θ΄ καλενδῶν ἰσημερία ἐαρινή, καὶ βροχὴ ἢ βροντώδης τροπή.

C κε΄. τῇ πρὸ η΄ καλενδῶν ἀπαρκτίας ἢ βορρᾶς, καὶ ὁ ἵππος ἕωθεν δύεται.

κς΄. τῇ πρὸ ζ΄ καλενδῶν οἱ ἰχθύες ἀνίσχουσι, καὶ 10 ἐκ τοῦ νότου βρέχει μετὰ χιόνος· ὁ δὲ κριὸς ἕωθεν ἀνίσχει, κατὰ θάλασσαν ταραχὴ ἀέρος.

κζ΄. τῇ πρὸ ς΄ καλενδῶν ἰσημερία ἐαρινή. ἔστι δ' ὅτε βρέχει καὶ βροντᾷ.

D κη΄. τῇ πρὸ ε΄ καλενδῶν ἐξισοῦται ἡ ἡμέρα τῇ 15 νυκτί.

κ̅. ὥρᾳ ι̅γ̅ ς'' ὁ κοινὸς ποταμοῦ καὶ ποδὸς ὠρίωνος ἑῷος δύνει· ὥρᾳ ι̅δ̅ ὁ λαμπρὸς τοῦ περσέως ἑῷος δύ-νει· ὥρᾳ ι̅ε̅ ς' ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ ὠρίωνος 5 ⟨ἑῷος⟩ δύνει· ὥρᾳ ι̅ε̅ ς'' ὁ μέσος τῆς ζώνης τοῦ ὠρίωνος ἑῷος δύνει. *Καίσαρι* χειμάζει (= d. 16. m. Novembris).

E κ̅α̅. ὥρᾳ ι̅ε̅ ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ ὠρίωνος ἑῷος δύνει, καὶ ὁ μέσος τῆς ζώνης αὐτοῦ ἑῷος δύνει. 10 ὥρᾳ ι̅ε̅ ς'' ἀρκτοῦρος ἑσπέριος δύνει. *Αἰγυπτίοις* βο-ρέας δι' ἡμέρας καὶ νυκτός· *Εὐδόξῳ* ὑετός· *Καίσαρι* χειμών (= d. 17. m. Novembris).

κ̅β̅. ὥρᾳ ι̅δ̅ ς'' ὁ ἐν ⟨τῷ⟩ ἡγουμένῳ ὤμῳ τοῦ ὠρίω-νος ἑῷος δύνει (= d. 18. m. Novembris). 15

κ̅γ̅. ὥρᾳ ι̅γ̅ ς'' ὁ καλούμενος κάνωβος ἑῷος δύνει. ὥρᾳ ι̅δ̅ ὁ λαμπρὸς τοῦ βορείου στεφάνου ἑσπέριος δύνει, καὶ ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ ὠρίωνος ἑῷος 76 A δύνει. ὥρᾳ ι̅ε̅ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου δι-δύμου ἑσπέριος ἀνατέλλει. *Εὐδόξῳ* χειμέριος περί- 20 στασις (= d. 19. m. Novembris).

1 δι' ἡμέρας] addidi ex *SB*, qui sollemni errore δ' ἡμέρας et *diebus quattuor* add. ‖ **3** ὥρᾳ ι̅γ̅ *LP* | ὠρίωνος *V* hic et saepius ‖ **4** ἑῷος om. *S* | ὥρᾳ ι̅δ̅] sic *B*, ὥρᾳ ι̅δ̅ ς'' *S*, καὶ *LPV* ‖ **5** ὥρᾳ ι̅ε̅ ς' — δύνει (6)] om. *BS* | ὥρᾳ ι̅ε̅ ς' scripsi pro καὶ coll. die 21. Athyr ‖ **6** ἑῷος add. I. | ὥρᾳ ι̅ε̅ ς''] καὶ *LPV* ‖ **7** δύνει ἑῷος *LP* ‖ **10** καὶ] *hor. 15 B* ‖ **11** ὥρᾳ — δύνει] om. *LP* ‖ **12** δι'] δ' *S*, *quattuor B* | νυκτός· Εὐδόξῳ] om. *BS* ‖ **12. 13** Καίσαρι χειμών] add. *BS* ‖ **14** ὥρᾳ ι̅δ̅ *PV*, ὥρᾳ ι̅η̅ *L* | τῷ addidi ex *L* ‖ **16** ὥρᾳ ι̅γ̅ ς''] sic corr. I., ὥρᾳ ι̅γ̅ *LPV*, om. *B* ‖ **17** ὥρᾳ ι̅δ̅ add. *BS* | βορείου] νοτίου *S* ‖ **18** καὶ] *hor. 13 B* ‖ **18. 19** ἑῷος δύνει] add. *BS* ‖ **19** ὥρᾳ ι̅ε̅] καὶ *LPV* ‖ **20** ἑσπερίου *P*

κδ. ὥρᾳ ιγ ∟'' ὁ ἐν τῷ ἐμπροσθίῳ δεξιῷ βατραχίῳ τοῦ κενταύρου ἐπιτέλλει. ὥρᾳ ιδ ∟'' ὁ μέσος τῆς ζώνης τοῦ ὠρίωνος ἑῷος δύνει. ὥρᾳ ιε ∟'' κύων ἑῷος δύνει. Αἰγυπτίοις χειμέριος περίστασις· Εὐδόξῳ
5 βορέας ψυχρός (= d. 20. m. Novembris).

κε. ὥρᾳ ιγ ∟'' ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ ὠρίωνος ἑῷος δύνει, καὶ ὁ καλούμενος ἀντάρης ἐπιτέλλει. ὥρᾳ ιδ ∟'' ὁ λαμπρὸς τοῦ περσέως ἑῷος δύνει. Εὐκτήμονι καὶ Δοσιθέῳ χειμὼν καὶ ὑετία, Καίσαρι B
10 ἀκρασία ἀέρος (= d. 21. m. Novembris).

κϛ. ὥρᾳ ιγ ∟'' ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ ὠρίωνος ἑσπέριος ἀνατέλλει, καὶ ὁ ἔσχατος τοῦ ποταμοῦ ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιδ ὁ λαμπρὸς τῆς λύρας ἑῷος ἀνατέλλει, καὶ ὁ μέσος τῆς ζώνης τοῦ ὠρίωνος ἑῷος
15 δύνει, καὶ ὁ καλούμενος ἀντάρης ἐπιτέλλει. Εὐδόξῳ χειμὼν σφοδρός (= d. 22. m. Novembris).

κζ. ὥρᾳ ιδ ∟'' ὁ καλούμενος ἀντάρης ἐπιτέλλει· ⟨ὥρᾳ ιε⟩ κύων ἑῷος δύνει· ὥρᾳ ιε ∟'' ὁ λαμπρὸς τοῦ ὄρνιθος ἑῷος ἀνατέλλει, καὶ ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ
20 ὠρίωνος ἑῷος δύνει. Αἰγυπτίοις καὶ Ἱππάρχῳ

1 ὥρᾳ ιγ *P* | βατραχίῳ] βραχίονι *LPV* ‖ 2 ὥρᾳ ιδ ∟''] add. *BS* ‖ 3 ὥρᾳ ιε ∟''] add. *BS* | κύων *BLV*, Κόνωνι *P*, de *S* tacet Fabricius ‖ 6 ὥρᾳ ιγ ∟''] add. *BS* ‖ 7 καὶ] ὥρᾳ ιγ ∟'' *BS* ‖ 8 ὥρᾳ ιδ ∟''] add. *BS* ‖ 9 καὶ ante Δοσιθέῳ add. *BS* | χειμὼν] χειμαίνει *LPV* | ὑετία] ὑετός *LPV*, *pluvia B* ‖ 9. 10 Καίσαρι ἀκρασία ἀέρος] add. *BS* ‖ 12 ἑσπέριος] ἑῷος *S* | καὶ ὁ ἔσχατος τοῦ ποταμοῦ ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιδ] om. *LPV* | καὶ] ὥρᾳ ιγ ∟'' καὶ *S*, *hor. 13. 30 B* ‖ 14 καὶ ὁ μέσος — δύνει, καὶ (15)] om. *LPV* | καὶ ὁ μέσος] ὥρᾳ ιδ καὶ ὁ μέσος *S*, *hor. 14. media B* ‖ 15 καλούμενος add. *S* ‖ 16 χειμὼν σφοδρός] σημαίνει σφόδρα *LPV* ‖ 17 ὥρᾳ ιδ ∟''] om. *LPV* | καλούμενος add. *S* ‖ 18 ὥρᾳ ιε addidi coll. 24. Athyr et 1. Choiak | ὥρᾳ ιε ∟''] add. *BS* | ante ὁ *S* add. καὶ ‖ 19 καὶ] *hor. 15. 30 B*

C νότος πυκνός· Εὐδόξῳ καὶ Κόνωνι χειμέριος ὁ ἀήρ· Καλλίππῳ ὑετία (= d. 23. m. Novembris).

κη. ὥρᾳ ιδ ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ ὠρίωνος ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιδ ς″ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου τῶν διδύμων ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιε ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ὠρίωνος ἑῷος δύνει. [ὥρᾳ ιε ς″ ὁ μέσος τῆς ζώνης τοῦ ὠρίωνος ἑῷος δύνει.] ὥρᾳ ιε ὁ καλούμενος ἀντάρης ἐπιτέλλει. Αἰγυπτίοις ψακάζει (= d. 24. m. Novembris). 5

κθ. ὥρᾳ ιγ ς″ ὁ μέσος τῆς ζώνης τοῦ ὠρίωνος ἑῷος δύνει. ὥρᾳ ιε ς″ ὁ καλούμενος ἀντάρης ἐπιτέλλει (= d. 25. m. Novembris). 10

λ. ὥρᾳ ιγ ς″ ὁ μέσος τῆς ζώνης τοῦ ὠρίωνος D ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιδ ς″ ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ὠρίωνος ἑῷος δύνει. ὥρᾳ ιδ′ ς″ ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ ὠρίωνος ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιε ς″ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου διδύμου ἑσπέριος ἀνατέλλει (= d. 26. m. Novembris). 15

1 καὶ add. *BS* | χειμέριος—ὑετία (2)] χειμάζει *P*, χειμάξει *LV* ‖ **3** ὥρᾳ ιδ coll. 26. et 30. Athyr scripsi pro ὥρᾳ ιδ ς″; om. *LPV* ‖ **4** ὥρᾳ ιδ ς″ *BS*, καὶ cet. ‖ **5. 6** ὥρᾳ ιε ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ὠρίωνος ἑῷος δύνει] om. *LP* ‖ **5** ὥρᾳ ιε ς″ *V* ‖ **6. 7** ὥρᾳ ιε ς″ ὁ μέσος τῆς ζώνης τοῦ ὠρίωνος ἑῷος δύνει] om. *BSV* et seclusi; repetita enim haec sunt ex proximo die sed ὥρα corrupta cf. 24. et 26. Athyr ‖ **8** ὥρᾳ ιε] om. *LPV* ‖ **9** ψεκᾶς *S* ‖ **11** ὥρᾳ ιε *LPV* | ἐπιτέλλει] sic *B* (*emergit*), ἀνατέλλει ceteri ‖ **13** ὥρᾳ κγ ς″ *L*, om. *P* ‖ **14** ἑσπέριος — ὠρίωνος (15)] om. *LPV* | ante ὁ add. καὶ *S* | ἑπομένῳ] ἡγουμένῳ H ‖ **15** ὥρᾳ ιδ ς″ scripsi coll. 3. et 5. Choiak; ὥρᾳ ιδ *BLV*, ὥρᾳ ιε ς″ cet. | ante ὁ *PSV* add. καὶ, quod pro ὁ habet *L* ‖ **17** ante ὁ add. *LPS* καὶ

ΧΟΙΑΚ

α̅. ὥρᾳ ι̅δ̅ ϛ″ κύων ἑῷος δύνει. ὥρᾳ ι̅ε̅ ὁ λαμπρὸς τοῦ περσέως ἑῷος δύνει. *Αἰγυπτίοις* νότος καὶ ὑετός· *Εὐδόξῳ* ἀκρασία ἀέρων· *Δοσιθέῳ* ἐπισημαί-
5 νει· *Δημοκρίτῳ* ὁ οὐρανὸς ταραχώδης καὶ ἡ θάλασσα ὡς τὰ πολλά (= d. 27. m. Novembris). E

β̅. ὥρᾳ ι̅γ̅ ϛ″ ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ὠρίωνος ἑσπέριος ἀνατέλλει, καὶ ὁ κοινὸς ποταμοῦ καὶ ποδὸς ὠρίωνος ἑσπέριος ἀνατέλλει. ὥρᾳ ι̅δ̅ ὁ ἐπὶ τῆς κε-
10 φαλῆς τοῦ ἡγουμένου διδύμου ἑσπέριος ἀνατέλλει. ὥρᾳ ι̅δ̅ ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ὠρίωνος ἑῷος δύνει. ὥρᾳ ι̅δ̅ ϛ″ ὁ λαμπρὸς τοῦ βορείου στεφάνου ἑσπέριος δύνει (= d. 28. m. Novembris).

γ̅. ὥρᾳ ι̅γ̅ ϛ″ ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ὠρίωνος 77 A
15 ἑῷος δύνει· ὥρᾳ ι̅ε̅ ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ ὠρίωνος ἑσπέριος ἀνατέλλει (= d. 29. m. Novembris).

δ̅. ὥρᾳ ι̅γ̅ ⟨ϛ″⟩ ὁ λαμπρὸς τῆς λύρας ἑῷος ἀνατέλλει· ὥρᾳ ι̅δ̅ ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ὠρίωνος ἑσπέριος ἀνατέλλει· καὶ ὁ μέσος τῆς ζώνης τοῦ ὠρίωνος
20 ἑσπέριος ἀνατέλλει· ⟨ὥρᾳ ι̅ε̅⟩ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου διδύμου ἑσπέριος ἀνατέλλει. *Αἰγυπτίοις*

1 *Χοιάκ*] sic *B*, *Δεκέβριος Χοιάκ L*, *μὴν Χοιάκ Δεκέμβριος* ceteri, in *V* spatium vacuum: et sic per ceteros anni menses ‖ 2 *ὥρᾳ ι̅δ̅ P* | ἑῷος om. *P* ‖ 3 ἑῷος om. *S*, ἕως *V* ‖ 5 ὁ om. *L* ‖ 7 *ὥρᾳ ι̅γ̅ LPV* ‖ 8 ante καὶ *LPV* add. *ὥρᾳ ι̅γ̅ ϛ″* | ante ποταμοῦ add. τοῦ *L* | καὶ — ἀνατέλλει (10)] om. *BS* ‖ 9 ἀνατέλλει ἑσπέριος *L* ‖ 11 *ὥρᾳ ι̅γ̅ ϛ″ PS*, *ὥρᾳ ι̅δ̅ ϛ″ V* | ante ὁ *LP* add. καὶ ‖ 12 ϛ″ om. *P* ‖ 14 *ὥρᾳ ι̅γ̅ ϛ″* — δύνει (15)] om. *LPV* ‖ 15 *ὥρᾳ ι̅ε̅ ὁ ἐπὶ τοῦ ἡγουμένου ὤμου τῶν διδύμων ἑῷος δύνει LPV* ‖ 17 *ὥρᾳ ι̅γ̅ LV*, *ὥρᾳ ι̅δ̅* cet. | ϛ″ addidi coll. 26. Athyr *hor. 13 B* ‖ 18 *ὥρᾳ ι̅δ̅* scripsi cum *B* (*hor. 14*), καὶ cet. | ἡγουμένῳ *BS* ‖ 19 καὶ ὁ μέσος — ἀνατέλλει (21)] om. *B* ‖ 20 *ὥρᾳ ι̅ε̅* scripsi pro καὶ coll. 30. Athyr et 7. Choiak

ζέφυρος ἢ νότος, δι' ἡμέρας ὕει. *Κόνωνι* χειμαίνει (= d. 30. m. Novembris).

ε̄. ὥρᾳ ιγ̄ ς″ ὁ καλούμενος αἲξ ἑῷος δύνει, καὶ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου διδύμου ἑσπέριος
B ἀνατέλλει. ὥρᾳ ιδ̄ κύων ἑῷος δύνει. ὥρᾳ ιε̄ ς″ ὁ ἐν 5
τῷ ἡγουμένῳ ὤμῳ τοῦ ὠρίωνος ἑσπέριος ἀνατέλλει. *Καίσαρι* καὶ *Εὐκτήμονι* καὶ *Εὐδόξῳ* καὶ *Καλλίππῳ* χειμών (= d. 1. m. Decembris).

ς̄. ὥρᾳ ιδ̄ ὁ ἐν τῷ ἐμπροσθίῳ ⟨δεξιῷ⟩ βατραχίῳ τοῦ κενταύρου ἐπιτέλλει, ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ 10
ὠρίωνος ἑσπέριος ἀνατέλλει. *Μητροδώρῳ* χειμέριος περίστασις· *Εὐκτήμονι*, *Φιλίππῳ* καὶ *Καλλίππῳ* ἀνέμων ἀταξία (= d. 2. m. Decembris).

ζ̄. ὥρᾳ ιδ̄ ὁ κοινὸς ποταμοῦ καὶ ποδὸς ὠρίωνος
C ἑσπέριος ἀνατέλλει. ⟨ὥρᾳ ιδ̄ ς″⟩ ὁ ἐπὶ τῆς κεφαλῆς 15
τοῦ ἑπομένου διδύμου ἑσπέριος ἀνατέλλει· καὶ ὁ μέσος τῆς ζώνης τοῦ ὠρίωνος ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιε̄ ὁ λαμπρὸς τοῦ ὄρνιθος ἑῷος ἀνατέλλει. *Αἰγυπτίοις* ψακάζει· *Καίσαρι* καὶ *Κόνωνι* χειμών (= d. 3. m. Decembris). 20

1 ὕει om. *LPV* ‖ 3 ὥρᾳ ιγ̄ ς″] om. *LPV* | καὶ] *hor. 13. 30 B* ‖ 5 ὥρᾳ ιδ̄] om. *LPV* | ὥρᾳ ιε̄ ς″—ὠρίωνος (6)] ὁ ἐν τῇ κεφαλῇ τοῦ ἡγουμένου διδύμου *L* (qui κύων (5) — ἀνατέλλει (6) iterat) *PV* ‖ 7 καὶ ante Εὐκτήμονι et Καλλίππῳ add. *S* | Εὐδόξῳ καὶ] add. *BS* ‖ 8 χειμαίνει *LV* ‖ 9 ὥρᾳ ιδ̄ coll. 24. Athyr et 13. Choiak scripsi pro ὥρᾳ ιδ̄ ς″; om. *B* | δεξιῷ add. Unger p. 35 | βατρακίῳ *LV* et sic semper ‖ 10 ante ὁ *B* add. *hor. 14. 30* ‖ 11 ἑσπέριος om. *LPV* | χειμέριος corr. Hercher pro χειμερία coll. p. 230, 10; 220, 24 ‖ 12 Φιλίππῳ καὶ] add. *BS* (*S* tamen Φίλωνι καὶ) ‖ 14 ὥρᾳ ιδ̄ scripsi coll. 2. et 12. Choiak pro ὥρᾳ ιδ̄ ς″; om. *B* ‖ 15 ὥρᾳ ιδ̄ ς″ addidi coll. 4. et 9. Choiak ‖ 16 ἡγουμένου *LP* | καὶ] *hor. 14. 30 B* ‖ 17 ἑσπέριος] corr. I. pro ἑῷος, om. *LP* (de *V* dubito) | ὥρᾳ—ἀνατέλλει (18)] om. *LP* | ὥρᾳ ιε̄ om. *V* ‖ 19 ψεκάζει *S*, *lenis imber B* | Καίσαρι

$\overline{η}$. ὥρᾳ $\overline{ιε}$ ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ὠρίωνος ἑσπέριος ἀνατέλλει. ὥρᾳ $\overline{ιε}$ S'' ὁ λαμπρὸς τοῦ περσέως ἑῷος δύνει. Αἰγυπτίοις ψακάζει· Καίσαρι καὶ Εὐκτήμονι καὶ Εὐδόξῳ χειμών (= d. 4. m. 5 Decembris).

$\overline{θ}$. ὥρᾳ $\overline{ιγ}$ S'' κύων ἑῷος δύνει. ὥρᾳ $\overline{ιδ}$ ὁ καλούμενος αἲξ ἑῷος δύνει, καὶ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου διδύμου ἑσπέριος ἀνατέλλει, καὶ ὁ ἔσχατος τοῦ ποταμοῦ ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις καὶ 10 Δοσιθέῳ καὶ Δημοκρίτῳ χειμών (= d. 5. m. Decembris). D

$\overline{ι}$. ὥρᾳ $\overline{ιε}$ ὁ λαμπρὸς τοῦ βορείου στεφάνου ἑσπέριος δύνει· ὥρᾳ $\overline{ιε}$ ὁ μέσος τῆς ζώνης τοῦ ὠρίωνος ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις λὶψ ἢ νότος· Εὐ-15 δόξῳ καὶ Δοσιθέῳ χειμέριος ἀήρ (= d. 6. m. Decembris).

$\overline{ια}$. ὥρᾳ $\overline{ιγ}$ S'' ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου διδύμου ἑσπέριος ἀνατέλλει. <ὥρᾳ $\overline{ιε}$ S'' ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ὠρίωνος ἑσπέριος ἀνατέλλει.> Ἱπ-20 πάρχῳ βορέας πολύς, Εὐδόξῳ ὑετός (= d. 7. m. Decembris).

$\overline{ιβ}$. ὥρᾳ $\overline{ιδ}$ S'' ὁ κοινὸς ποταμοῦ καὶ ποδὸς ὠρίω- E

καὶ Κόνωνι] καὶ *PV*, om. *L* ‖ p. 228, **19** χειμαίνει *L*, ζειμαίνει *V*, χειμάζει *P* ‖ **1** ὥρᾳ $\overline{ιδ}$ S'' *LPV* ‖ **2** ὥρᾳ—δύνει (3)] om. *LPV* ‖ **3** ἑῷος add. *B* | ψεκάζει *S* et sic semper ‖ **3. 4** Καίσαρι καὶ Εὐκτήμονι καὶ add. *BS* ‖ **4** χειμαίνει *LPV* ‖ **6** ὥρᾳ $\overline{ιδ}$ om. *LPV* ‖ **7** καὶ—ἀνατέλλει (8)] om. *LPV* ‖ **8** καὶ] *hor. 14 B* ‖ **10** χειμών] σημαίνει *LPV* ‖ **12** ὥρᾳ $\overline{ιε}$ scripsi coll. 2. et 19. Choiak pro ὥρᾳ $\overline{ιε}$ S''; om. *B* | βορείου] νοτίου *S* (ut videtur) ‖ **13** ὥρᾳ $\overline{ιε}$] sic *B*, ceteri καί, sed *V* om. ‖ **15** καὶ Δοσιθέῳ] add. *BS* ‖ **17** ὥρᾳ $\overline{ιε}$ S'' *LV*, ὥρᾳ $\overline{ιε}$ *P* ‖ **18** ὥρᾳ $\overline{ιε}$ S''—ἀνατέλλει (19) quod propter homoioteleuton facile intercidere potuit addidi cum I. p. 197 ‖ **20** ὑετός] *ingens imber B* ‖ **22** ὥρᾳ $\overline{ιδ}$ *LPV*

νος ἑσπέριος ἀνατέλλει. Καίσαρι νοτία· Εὐκτήμονι καὶ Εὐδόξῳ καὶ Καλλίππῳ χειμέριος ἀὴρ καὶ ὑετία (= d. 8. m. Decembris).

ιγ. ὥρᾳ ιγ ς″ ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ἡνιόχου ἑῷος δύνει. ὥρᾳ ιε ς″ ὁ μέσος τῆς ζώνης τοῦ ὠρίω- 5 νος ἑσπέριος ἀνατέλλει. Καίσαρι νοτία· Εὐκτήμονι καὶ Εὐδόξῳ καὶ Καλλίππῳ χειμέριος ἀὴρ καὶ ὑετία (= d. 9. m. Decembris).

ιδ. ὥρᾳ ιδ ς″ ὁ καλούμενος αἴξ ἑῷος δύνει. Μητροδώρῳ καὶ Εὐκτήμονι καὶ Καλλίππῳ χειμέριος 10 περίστασις· Δημοκρίτῳ βρονταί, ἀστραπαί, ὕδωρ, ἄνεμοι (= d. 10. m. Decembris).

ιε. Αἰγυπτίοις ἀργεστὴς ψυχρὸς ἢ νότος καὶ ὄμβρος· Καλλίππῳ νότος καὶ ἐπισημαίνει· Εὐδόξῳ χειμέριος ἀήρ (= d. 11. m. Decembris). 15

78 A ις. ὥρᾳ ιδ ς″ ὁ λαμπρὸς τοῦ ὄρνιθος ἑῷος ἀνατέλλει. ⟨ὥρᾳ ιε⟩ ὁ κοινὸς ποταμοῦ καὶ ποδὸς ὠρίωνος ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις χειμάζει (= d. 12. m. Decembris).

ιζ. Ἱππάρχῳ νότος καὶ πολὺς ὄμβρος (= d. 13. m. 20 Decembris).

1 Καίσαρι — ὑετία (2)] add. *BS* ‖ **2** χειμέριος scripsi, χειμῶνος *S*, *hiemalis B* | καὶ ὑετία] *cum imbre B* ‖ **4** ὥρᾳ ιγ ς″— δύνει (5)] om. *BS* | ὥρᾳ ιγ ς″ scripsi coll. 18. et 23. Choiak pro ὥρᾳ ιδ ‖ **5** ὥρᾳ ιε ς″ scripsi coll. 7. et 10. Choiak pro ὥρᾳ ιγ ς″, om. *LPV* | μέσος] μέσος (al. μέγας) *S* ‖ **6** νοτία — Καλλίππῳ (7)] add. *BS* ‖ **7** ὑετός *LPV* ‖ **9** ὥρᾳ ιδ *LPV* ‖ **10** καὶ Εὐκτήμονι καὶ Καλλίππῳ] add. *BS* | χειμέριος] χειμῶνος *S*, *tempestas B* ‖ **11** Κριτοδήμῳ *LV* ‖ **12** ἄνεμος *LPV* ‖ **13** ἐργαστὴς *LPV* ‖ **14** ἐπισημαίνει] *significatio B* | Εὐδόξῳ add. *BS* ‖ **15** χειμέριος] χειμῶνος *S* ‖ **16. 17** ἀνατέλλει] *occidit B* ‖ **17** ante ὁ addidi coll. 12. et 21. Choiak ὥρᾳ ιε, add. *hor. 14. 30 B* ‖ **18** χειμαίνει *LV* ‖ **20** καὶ πολὺς ὄμβρος] πολὺς ἢ βορέας *BS*

$\overline{\iota\eta}$. ὥρᾳ $\overline{\iota\delta}$ ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ἡνιόχου ἑῷος δύνει. *Αἰγυπτίοις* ὑετία μετὰ πνευμάτων, *Εὐδόξῳ* χειμάζει (= d. 14. m. Decembris).

$\overline{\iota\vartheta}$. ὥρᾳ $\overline{\iota\varepsilon}$ ὁ καλούμενος αἲξ ἑῷος δύνει. ὥρᾳ $\overline{\iota\varepsilon}$ ∠'' 5 ὁ λαμπρὸς τοῦ βορείου στεφάνου ἑσπέριος δύνει. *Αἰ*- B *γυπτίοις* βορέας ψυχρὸς ἢ νότος, ὑετία (= d. 15. m. Decembris).

$\overline{\varkappa}$. ὥρᾳ $\overline{\iota\varepsilon}$ ∠'' προκύων ἑῷος δύνει. *Καίσαρι* χειμάζει (= d. 16. m. Decembris).

10 $\overline{\varkappa\alpha}$. ὥρᾳ $\overline{\iota\varepsilon}$ ∠'' ὁ κοινὸς ποταμοῦ καὶ ποδὸς ὠρίωνος ἑσπέριος ἀνατέλλει (= d. 17. m. Decembris).

$\overline{\varkappa\beta}$. ὥρᾳ $\overline{\iota\varepsilon}$ προκύων ἑῷος δύνει. *Ἱππάρχῳ* νότος (= d. 18. m. Decembris).

$\overline{\varkappa\gamma}$. ὥρᾳ $\overline{\iota\delta}$ ∠'' ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ἡνιόχου 15 ἑῷος δύνει, καὶ ὁ ἐν τῷ ἐμπροσθίῳ δεξιῷ βατραχίῳ C τοῦ κενταύρου ἐπιτέλλει. ὥρᾳ $\overline{\iota\varepsilon}$ ⟨∠''⟩ ὁ λαμπρὸς τοῦ ἀετοῦ ἑῷος ἀνατέλλει. *Αἰγυπτίοις* καὶ *Εὐδόξῳ* καὶ *Δοσιθέῳ* λὶψ ἢ νότος (= d. 19. m. Decembris).

$\overline{\varkappa\delta}$. ὥρᾳ $\overline{\iota\delta}$ ⟨∠''⟩ προκύων ἑῷος δύνει, καὶ ὁ ἔσχα- 20 τος τοῦ ποταμοῦ ἑσπέριος ἀνατέλλει. *Εὐδόξῳ* χειμερινὸς ἀὴρ (= d. 20. m. Decembris).

$\overline{\varkappa\varepsilon}$. ὥρᾳ $\overline{\iota\gamma}$ ∠'' προκύων ἑσπέριος ἀνατέλλει. ὥρᾳ $\overline{\iota\delta}$

1 ὥρᾳ $\overline{\iota\delta}$ om. *L* ‖ 3 Εὐδόξῳ add. *BS* | χειμών *LP*, χειμῶν *V* ‖ 4 ὥρᾳ $\overline{\iota\varepsilon}$ ὁ καλούμενος αἲξ ἑῷος δύνει] om. *BS* | ὥρᾳ $\overline{\iota\varepsilon}$ ∠'' add. *BS* ‖ 5 βορείου] νοτίου *S* | στεφάνου] *Chele B* ‖ 8 ὥρᾳ $\overline{\iota\varepsilon}$ *LPV* ‖ 10 ὥρᾳ $\overline{\iota\varepsilon}$ *LPV* ‖ 12 ante νότος *B* add. *flat* ‖ 14 ὥρᾳ $\overline{\iota\delta}$ *LPV* ‖ 15 καὶ] *hor. 14. 30 B* ‖ 16 ὥρᾳ ιε' ∠'' scripsi coll. 25. et 27. Choiak pro ὥρᾳ $\overline{\iota\varepsilon}$ quod soli add. *BS* ‖ 17. 18 καὶ Εὐδόξῳ καὶ] add. *BS* ‖ 19 ὥρᾳ $\overline{\iota\delta}$ ∠'' scripsi coll. cum 22. et 25. Choiak tum 24. Athyr et 6. Choiak pro ὥρᾳ $\overline{\iota\delta}$; om. *B* ‖ 20 Εὐδοξίῳ *LV* ‖ 20. 21 χειμερινὸς ἀήρ] χειμαίνει *LPV* ‖ 22 ὥρᾳ $\overline{\iota\gamma}$ *LPV* | ὥρᾳ $\overline{\iota\delta}$] καὶ *LPV*, ὥρᾳ $\overline{\iota\delta}$ καὶ *S*

προκύων ἑῷος δύνει. ὥρᾳ ιε ὁ λαμπρὸς τοῦ ἀετοῦ ἑῷος ἀνατέλλει. *Αἰγυπτίοις* ἐπισημαίνει (= d. 21. m. Decembris).

D κς. χειμερινὴ τροπή. ὥρᾳ ιγ S'' προκύων ἑῷος δύνει. ὥρᾳ ιγ S'' κύων ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιε S'' αἲξ ἑῷος δύνει (= d. 22. m. Decembris).

κζ. ὥρᾳ ιγ S'' ὁ λαμπρὸς τοῦ ἀετοῦ κρύπτεται. ὥρᾳ ιδ προκύων ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιδ S'' ὁ λαμπρὸς τοῦ ἀετοῦ ἑῷος ἀνατέλλει (= d. 23. m. Decembris).

κη. ὥρᾳ ιε ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ἡνιόχου ἑῷος δύνει. ὥρᾳ ιε S'' ὁ λαμπρὸς τοῦ νοτίου ἰχθύος κρύπτεται. *Αἰγυπτίοις* καὶ *Καίσαρι* χειμών· *Ἱππάρχῳ* καὶ *Μέτωνι* ἐπισημαίνει, ὄμβρος (= d. 24. m. Decembris).

κθ. ὥρᾳ ιδ S'' προκύων ἑσπέριος ἀνατέλλει. *Αἰγυπτίοις* καὶ *Κόνωνι* καὶ *Μέτωνι* καὶ *Καλλίππῳ* E χειμών. *Καίσαρι* καὶ *Μητροδώρῳ* ἐπισημαίνει· ἀκρασία ⟨ἀέρος⟩ (= d. 25. m. Decembris).

1 ante προκύων vulgo additum ὁ omisi cum *LV* | προκύων] προιστῶν *S* | ὥρᾳ ιε] om. *LP* ‖ 4 continuat hunc diem cum antecedente *V* | χειμερινὴ τροπή] om. *B* | ὥρᾳ ιγ S'' corr. I.; ὥρᾳ ιγ *LPV*, ὥρᾳ ιδ *BS* | ἑῷος δύνει — κύων (5)] om. *B* ‖ 5 ὥρᾳ ιγ S'' scripsi coll. 1. et 6. Tybi pro ὥρᾳ ιδ; sed καὶ hab. *LPV* | ὥρᾳ ιε S''] om. *LPV* ‖ 7 ὥρᾳ ιγ S'' scripsi pro ὥρᾳ ιγ, om. *B* ‖ 8 ὥρᾳ ιδ] om. *LPV* | ὥρᾳ ιδ S'' — ἀνατέλλει (9)] add. *BS* ‖ 11 ὥρᾳ ιε] om. *LPV* | ἑπομένῳ] *dextro B* ‖ 12 ὥρᾳ ιε S''] om. *LPV* | νοτίου] ἡνιόχου *V* ‖ 13 καὶ Καίσαρι] add. *BS* | χειμαίνει *LPV* ‖ 13. 14 Ἱππάρχῳ καὶ] add. *BS* ‖ 14 ἐπισημασία *S* | ὄμβρος add. *P*, ὄμβρον add. *LV* ‖ 16 ὥρᾳ ιδ S''] om. *LPV* ‖ 17 Κόνωνι καὶ] add. *BS* | καὶ Καλλίππῳ — Μητροδώρῳ (18)] add. *BS* ‖ 18 ἐπισημασία *S*, *significationis B* ‖ 19 ἀέρος add. Hercher

λ̄. ὥρᾳ ιδ̄ ὁ λαμπρὸς τοῦ ἀετοῦ ἑῷος ἀνατέλλει, ὁ λαμπρὸς τοῦ ἀετοῦ ἑσπέριος δύνει. Αἰγυπτίοις λὶψ καὶ ἀκρασία ἀέρος· Εὐδόξῳ καὶ Μητροδώρῳ χειμέριος ἀήρ· Ἱππάρχῳ χειμὼν ἑσπέριος (= d.
5 26. m. Decembris).

TYBI

ᾱ. ὥρᾳ ιδ̄ κύων ἑσπέριος ἀνατέλλει· ⟨ὥρᾳ ιε̄⟩ προκύων ἑσπέριος ἀνατέλλει. Εὐδόξῳ ἐπισημαίνει· Δημοκρίτῳ μέγας χειμών (= d. 27. m. Decembris).

10 *β̄. ὥρᾳ ιγ̄ ς″ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου* 79 A *διδύμου ἑῷος δύνει. Δοσιθέῳ χειμαίνει* (= d. 28. m. Decembris).

γ̄. ὥρᾳ ιγ̄ ς″ ὁ λαμπρὸς τοῦ ἀετοῦ ἐπιτέλλει, ⟨ὥρᾳ ιε̄ ς″⟩ προκύων ἑσπέριος ἀνατέλλει. Εὐκτήμονι καὶ Φιλίππῳ καὶ Δημοκρίτῳ ἐπισημαίνει
15 (= d. 29. m. Decembris).

δ̄. ὥρᾳ ιγ̄ ς″ ὁ λαμπρὸς τοῦ ὄρνιθος ἑῷος ἀνατέλλει· ὥρᾳ ιγ̄ ς″ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου διδύμου ἑῷος δύνει. ὥρᾳ ιδ̄ ς″ ὁ λαμπρὸς τοῦ ἀετοῦ ἑσπέριος

1 ὥρᾳ ιδ̄ om. *L* | ὁ λαμπρὸς — ἀνατέλλει] om. *LPV* ‖ 2 ante ὁ *B* add. *hor. 14* ‖ 3 Εὐδόξῳ — ἑσπέριος (4)] add. *BS* ‖ 4 χειμέριος scripsi, χειμῶνος *S*, *hiemalis B* ‖ 6 μὴν Τυβί, Ἰανουάριος H., μὴν Ἰανουάριος ἢ Τυβί *P*, μὴν Ἰανουάριος Τυβί *L* ‖ 7 κύων ἑσπέριος ἀνατέλλει] om. *B* | ὥρᾳ ιε̄ addidi coll. 27. et 29. Choiak ‖ 8 Εὐδόξῳ — χειμών (9)] Δημοκρίτῳ χειμὼν ἐπισημαίνει *LPV* ‖ 9 μέγας corr. Unger ann. phil. 1890 p. 172 pro μέσος ‖ 10 ὥρᾳ ιγ̄ ς″] om. *LP* ‖ 11 Δοσιθέῳ χειμαίνει] om. *B* ‖ 13 ὥρᾳ ιγ̄ ς″] om. *BP* ‖ 14 ὥρᾳ ιε̄ ς″ addidi coll. 1. Tybi | προκύων — ἀνατέλλει] om. *B* ‖ 14. 15 Εὐκτήμονι καὶ] add. *BS* ‖ 15 Φιλίππῳ *B*, Φίλωνι *S*, Φιλήμονι *LPV* | καὶ Δημοκρίτῳ] add. *BS* ‖ 17 ὥρᾳ ιγ̄ *LPV* ‖ 18 ante ὁ *B* add. *hor. 13. 30*, ceteri om. | ἑπομένου] *praecedentis B* ‖ 19 ὥρᾳ ιδ̄ ς″] om. *LPV*

δύνει. ὥρᾳ ι̅ε̅ ὁ λαμπρὸς τοῦ νοτίου ἰχθύος κρύπτεται. *Αἰγυπτίοις* χειμάζει κατὰ θάλασσαν· *Εὐκτήμονι* ἐπισημαίνει (= d. 30. m. Decembris).

ε̅. ὥρᾳ ι̅δ̅ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου διδύμου ἑῷος δύνει. ὥρᾳ ι̅ε̅ ⟨S''⟩ ὁ ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ ἡνιόχου ἑῷος δύνει (= d. 31. m. Decembris).

ς̅. ὥρᾳ ι̅γ̅ S'' ὁ κατὰ τὸ γόνυ τοῦ τοξότου ἐπιτέλλει. ὥρᾳ ι̅δ̅ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου διδύμου ἑῷος δύνει. ὥρᾳ ι̅δ̅ S'' κύων ἑσπέριος ἀνατέλλει (= d. 1. m. Ianuarii).

ζ̅. ὥρᾳ ι̅ε̅ ὁ λαμπρὸς τοῦ ἀετοῦ ἑσπέριος δύνει. * ἐπισημαίνει ὡς *Δοσιθέῳ* * (= d. 2. m. Ianuarii).

η̅. ὥρᾳ ι̅δ̅ ⟨S''⟩ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου διδύμου ἑῷος δύνει· ὥρᾳ ι̅δ̅ S'' ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου διδύμου ἑῷος δύνει· ὥρᾳ ι̅δ̅ S'' ὁ λαμπρὸς τοῦ νοτίου ἰχθύος κρύπτεται. *Αἰγυπτίοις* ποικίλη κατάστασις (= d. 3. m. Ianuarii).

θ̅. ὥρᾳ ι̅γ̅ S'' ὁ λαμπρὸς τῆς λύρας ἑσπέριος δύνει· ⟨ὥρᾳ ι̅ε̅ S''⟩ ὁ λαμπρὸς τοῦ ἀετοῦ ἑσπέριος δύνει. *Αἰγυπτίοις* ἐπισημαίνει· *Δημοκρίτῳ* νότος ὡς τὰ πολλά (= d. 4. m. Ianuarii).

1 ὥρᾳ ι̅ε̅] om. *LPV* ‖ **3** ἐπιχειμάζει *LPV* ‖ **4** ὥρᾳ ι̅δ̅ S'' *LV* et H. ‖ **5** ὥρᾳ ι̅ε̅ S''— δύνει (6)] om. *P* | ὥρᾳ ι̅ε̅ S'' scripsi coll. 23. et 28. Choiak pro ὥρᾳ ι̅ε̅ ‖ **7** ὥρᾳ ι̅γ̅ S'' corr. I.; ὥρᾳ ι̅γ̅ *PV*, ὥρᾳ ι̅ε̅ S'' *BS*, om. *L* ‖ 8 ὥρᾳ ι̅δ̅ — δύνει (9)] om. *LPV* ‖ **9** ὥρᾳ ι̅δ̅ S''] om. *LPV* | ἀνατέλλει] δύνει *LPV* ‖ **11** ζ̅] η̅ *L* | ὥρᾳ ι̅ε̅ S'' H. ‖ **12** duas lacunas significavi; sed etiam ὡς vix sanum | ἐπισημαίνει ὡς Δοσιθέῳ] *Dositheo significat B* Δοσίθεοι *V* ‖ **13** η̅] ζ̅ *L* | ὥρᾳ — δύνει (14)] om. *P* | S'' addidi coll. 2. et 5. Tybi ‖ **14** ὥρᾳ ι̅δ̅ S''— ὥρᾳ ι̅δ̅ S'' (15)] om. *LPV* ‖ **15** ante ὁ *LPSV* add. καὶ ‖ **17** ποικίλη] πυκνὴ *LP*, πυκνὴ ἡ *V* ‖ **18** θ̅] η̅ *L* | ὥρᾳ ι̅δ̅ *LPV* ‖ **19** ὥρᾳ ι̅ε̅ S'' addidi coll. 4. et 7. Tybi | ὁ λαμπρὸς — δύνει] om. *B* ‖ **20** Δημοκρίτονος ὡς *V*

ῑ. ὥρᾳ ιε̄ κύων ἑσπέριος ἀνατέλλει (= d. 5. m. Ianuarii).

ια̅. ὥρᾳ ιε̄ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου διδύμου ἑῷος δύνει. Εὐκτήμονι καὶ Φιλίππῳ μέσος 5 χειμών (= d. 6. m. Ianuarii).

ιβ̅. ὥρᾳ ιδ̅ ὁ κατὰ τὸ γόνυ τοῦ τοξότου ἐπιτέλλει. ὥρᾳ ιε̄ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου διδύμου ἑῷος δύνει. Ἱππάρχῳ ⟨καὶ⟩ Εὐδόξῳ χειμαίνει (= d. 7. m. Ianuarii).

10 ιγ̅. ὥρᾳ ιδ̅ ὁ λαμπρὸς τοῦ νοτίου ἰχθύος κρύπτεται. ὥρᾳ ιε̄ ὁ ἔσχατος τοῦ ποταμοῦ ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις νότος ἢ ζέφυρος, χειμαίνει καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Μητροδόρῳ καὶ Εὐκτήμονι καὶ Φιλίππῳ καὶ Καλλίππῳ νότος (= d. 15 8. m. Ianuarii). D

ιδ̅. ὥρᾳ ιε̄ ⟨ς″⟩ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου διδύμου ἑῷος δύνει· ὥρᾳ ιε̄ ς″ ὁ λαμπρὸς τοῦ ὕδρου ἑῷος δύνει, κύων ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις καὶ Εὐδόξῳ νότος σφοδρὸς καὶ ὑετός (= d. 9. m. 20 Ianuarii).

ιε̄. ὥρᾳ ιε̄ **. Αἰγυπτίοις καὶ Καίσαρι νότος

1 ῑ] θ̄ *L* | ὥρᾳ ιε̄] om. *P*, ὥρᾳ ῑ *LV* ‖ 3 ἑπομένου] ἡγουμένου *LP* ‖ 4. 5 Εὐκτήμονι—χειμών add. *BS* | μέσος χειμών *moderata tempestas* hic et in ceteris locis *B* vertit, interdum *mediocris t.* ‖ 6 ιβ̅] ια̅ *L* ‖ 7 ὥρᾳ ιε̄—δύνει (8)] add. *BS* | διδύμου om. *S* ‖ 8 καὶ om. cod. ‖ 10 ιγ̅] ιβ̅ *L* | ὥρᾳ ιδ̅ ς″ *BS* ‖ 11 ἀνατέλλεται *P* ‖ 12 χειμαίνει — θάλασσαν (13)] χειμὼν κατὰ θάλασσαν *BS* ‖ 13 Μητροδώρῳ—νότος] add. *BS* ‖ 16 ιδ̅] ιγ̅ *L* | ὥρᾳ ιε̄ ς″ scripsi coll. 8. et 11. Tybi pro ὥρᾳ ιε̄; om. *B* ‖ 17 ἑῷος om. *LPV* | ὥρᾳ ιε̄ ς″] om. *LPV* | ὕδρου] sic *B*, ὑδροχόου ceteri ‖ 18 ante κύων *B* add. *hor. 15. 30* ‖ 19 καὶ Εὐδόξῳ] add. *BS* | σφόδρα *P*, σφοδρῶς *V* ‖ 21 ιε̄] ιδ̅ *L* | ὥρᾳ—Καίσαρι] om. *LPV* | lacunam indicavi

E πολύς, καὶ ἐπισημαίνει· κατὰ θάλασσαν βροντὴ καὶ ψακάς (= d. 10. m. Ianuarii).

$\overline{\iota\varsigma}$. ὥρᾳ $\overline{\iota\varepsilon}$ ὁ λαμπρὸς τοῦ ὕδρου ἑῷος δύνει. ὥρᾳ $\overline{\iota\varepsilon}$ S″ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου διδύμου ἑῷος δύνει. Εὐδόξῳ καὶ Δοσιθέῳ νότος, ἐπισημαίνει. Ἱππάρχῳ ἀνέμων ἀκρασία (= d. 11. m. Ianuarii). 5

$\overline{\iota\zeta}$. ὥρᾳ $\overline{\iota\gamma}$ S″ ὁ λαμπρὸς τοῦ νοτίου ἰχθύος κρύπτεται (= d. 12. m. Ianuarii).

80 A $\overline{\iota\eta}$. ὥρᾳ $\overline{\iota\delta}$ ὁ λαμπρὸς τῆς λύρας ἑσπέριος δύνει. 10 ὥρᾳ $\overline{\iota\delta}$ S″ ὁ κατὰ τὸ γόνυ τοῦ τοξότου ἐπιτέλλει (= d. 13. m. Ianuarii).

$\overline{\iota\vartheta}$. ὥρᾳ $\overline{\iota\delta}$ S″ ὁ λαμπρὸς τοῦ ὕδρου ἑῷος δύνει. Ἱππάρχῳ νότος ἢ βορέας, χειμάζει (= d. 14. m. Ianuarii). 15

$\overline{\kappa}$. Αἰγυπτίοις χειμέριος ἀήρ (= d. 15. m. Ianuarii).

$\overline{\kappa\alpha}$. ὥρᾳ $\overline{\iota\delta}$ ὁ λαμπρὸς τοῦ ὕδρου ἑῷος δύνει. ὥρᾳ $\overline{\iota\varepsilon}$ ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος ἑσπέριος ἀνατέλλει. Ἱππάρχῳ ἀπηλιώτης πνεῖ (= d. 16. m. Ianuarii).

$\overline{\kappa\beta}$. ὥρᾳ $\overline{\iota\gamma}$ S″ ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος 20 B ἑσπέριος ἀνατέλλει, καὶ ὁ λαμπρὸς τοῦ ὕδρου ἑσπέριος

1 πολὺς] *multus et validus B* | καὶ om. *L* | βρονταὶ *V* || 3 $\overline{\iota\varsigma}$] $\overline{\iota\varepsilon}$ *L* et sic pergit usque ad $\overline{\lambda}$, pro quo $\overline{\kappa\vartheta}$ habet | ὕδρου *B*, ὑδροχόου ceteri || 4 ὥρᾳ $\overline{\iota\varepsilon}$ S″] καὶ *LP* || 5 καὶ Δοσιθέῳ] add. *BS* || 5. 6 ἐπισημαίνει] ἐπὶ χειμῶνι S, *cum tempestate B* || 6 Ἱππάρχῳ add. *B* | ἀταξία *PV* || 8 ὥρᾳ $\overline{\iota\gamma}$ *LPV* || 10 hunc diem cum antecedente copulat *V* || 11 ὥρᾳ $\overline{\iota\delta}$ S″] om. *LPV* | ὁ ἐν τῷ γόνατι *LPV* | ἐπιτέλλει] ἑσπέριος δύνει *LPV* || 13 ὥρᾳ $\overline{\iota\delta}$ S″] om. *LPV* | ὕδρου] sic *B*, ceteri ὑδροχόου; item infra 17. 21 et p. 237, 7. 10. 14. 19 || 17 ὥρᾳ $\overline{\iota\delta}$ scripsi coll. 19. et 23. Tybi pro ὥρᾳ $\overline{\iota\delta}$ S″; om. *LPV* || 20 hunc diem cum antecedente copulat *V* | ὥρᾳ $\overline{\iota\gamma}$ S″] om. *LPV* || 21 καὶ ὁ — δύνει (p. 237, 4)] om. *LPV*

ἀνατέλλει· ὥρᾳ ιγ S'' ὁ καλούμενος κάνωβος ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιδ ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιδ S'' ὁ ἐν τῷ ἐμπροσθίῳ βατραχίῳ δεξιῷ τοῦ κενταύρου ἑῷος δύνει· ὥρᾳ ιδ S'' ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος ἑσπέριος ἀνατέλλει. *Καίσαρι* ἄνεμοι σφοδροί (= d. 17. m. Ianuarii).

κγ. ὥρᾳ ιγ S'' ὁ λαμπρὸς τοῦ ὕδρου ἑῷος δύνει. *Εὐκτήμονι* καὶ *Φιλίππῳ* χειμών. *Μητροδώρῳ* ἀκαταστασία ἀέρος (= d. 18. m. Ianuarii).

κδ. ὥρᾳ ιδ ὁ λαμπρὸς τοῦ ὕδρου ἑσπέριος ἀνατέλλει. *Αἰγυπτίοις* ὕει ἢ πνίγη γίνεται. *Καίσαρι* καὶ *Εὐκτήμονι* χειμών (= d. 19. m. Ianuarii).

κε. ὥρᾳ ιδ S'' ὁ λαμπρὸς τῆς λύρας ἑσπέριος δύνει, καὶ ὁ λαμπρὸς τοῦ ὕδρου ἑσπέριος ἀνατέλλει. ὥρᾳ ιε ὁ κατὰ τὸ γόνυ τοῦ τοξότου ἐπιτέλλει. *Αἰγυπτίοις* καὶ *Καλλίππῳ* χειμών, ὑετός. *Ἱππάρχῳ* βορρᾶς πνεῖ. *Εὐκτήμονι* καὶ *Δημοκρίτῳ* ἐφύει (= d. 20. m. Ianuarii).

κς. ὥρᾳ ιε ὁ λαμπρὸς τοῦ ὕδρου ἑσπέριος ἀνατέλλει. *Εὐδόξῳ* χειμὼν μέσος (= d. 21. m. Ianuarii).

1 ante ὁ *S* add. καὶ ‖ 3 ante ὁ ἐν *S* add. καὶ ‖ 4 ὥρᾳ — ἀνατέλλει (5)] om. *LV* | ὥρᾳ ιδ S'' scripsi pro ὥρᾳ ιε coll. 21. Tybi ‖ 6 ἄνεμος σφοδρὸς *LV*, ἄνεμος σφόδρα *P* ‖ 7 ὥρᾳ ιγ *LPV* | ἑῷος — χειμών (8)] add. *BS* ‖ 9 ἀκαταστασία ἀέρος] ἀκατάστατος ὄμβρος *LPV* ‖ 11 ὕει — χειμών (12)] ἐπισημαίνει *BS*, σημαίνει *LV* ‖ 12 quo minus post χειμών addas μέσος coll. infra 20 et Lydi cal. 19. Ian. τὸ μεσαίτατον τοῦ χειμῶνος, obstat p. 235, 4; sed videtur aliquid turbatum esse ‖ 13 ὥρᾳ ιδ *LPV* ‖ 14 καὶ — ἐπιτέλλει (15)] om. *LPV* | καὶ] ὥρᾳ ιδ S'' καὶ *S*, *hor. 14. 30 B* | ὥρᾳ ιε scripsi (quod vel ipse ordo notarum flagitat) coll. 12. et 18. Tybi pro ὥρᾳ ιδ ‖ 15 ἐπιτέλλει *B*, om. *S* ‖ 16 καὶ Καλλίππῳ — ἐφύει (17)] ἐπισημαίνει *P*, Καλλίππῳ χειμαίνει *LV* ‖ 19 ὥρᾳ ιε] om. *LPV* ‖ 20 Εὐδόξῳ] Αἰγυπτίοις *LPV* | μέσων *V*

κζ̄. *Αἰγυπτίοις εὖρος ἢ νότος· ἐπισημαίνει* (= d. 22. m. Ianuarii).

C κη̄. *ὥρᾳ ιε̄ ⟨𐅵″⟩ ὁ λαμπρὸς τοῦ ὕδρου ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις ὑετία· Ἱππάρχῳ ἐπισημασία* (= d. 23. m. Ianuarii). 5

κθ̄. *Καλλίππῳ καὶ Εὐκτήμονι ἐφύει. Δημοκρίτῳ μέγας χειμών* (= d. 24. m. Ianuarii).

λ̄. *Ἱππάρχῳ ἀπηλιώτης πνεῖ* (= d. 25. m. Ianuarii).

ΜΕΧΙΡ

ᾱ. *⟨ὥρᾳ ιε̄ 𐅵″⟩ ὁ κατὰ τὸ γόνυ τοῦ τοξότου ἐπιτέλλει. Εὐδόξῳ ὑετία. Μητροδώρῳ ὑετία, Δοσιθέῳ χειμαίνει* (= d. 26. m. Ianuarii). 10

β̄. *Αἰγυπτίοις χειμὼν μέγας* (= d. 27. m. Ianuarii).

γ̄. *Αἰγυπτίοις λὶψ ἢ νότος· ἐπισημαίνει* (= d. 28. m. Ianuarii). 15

D δ̄. *ὥρᾳ ιγ̄ 𐅵″ ὁ λαμπρὸς τοῦ ὄρνιθος ἑσπέριος δύνει. ὥρᾳ ιε̄ ὁ λαμπρὸς τῆς λύρας ἑσπέριος δύνει* (= d. 29. m. Ianuarii).

ε̄. *Ἱππάρχῳ νότος ἢ ἀργεστής* (= d. 30. m. Ianuarii).

ϛ̄. *ὥρᾳ ιγ̄ 𐅵″ ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος ἑῷος* 20

1 *εὖρος ἢ νότος*] om. *BS* | *σημαίνει LPV* ‖ **3** *ὥρᾳ ιε̄* om. *LPV* | *𐅵″* addidi coll. 25. et 26. Tybi | *ὕδρου*] hic quoque *B*, *ὑδροχόου* ceteri | **4** *Ἱππάρχῳ ἐπισημασία*] add. *BS* ‖ **6** *Καλλίππῳ — ἐφύει*] add. *BS* ‖ **7** *μέγας*] *mediocris B*, *μέσος* (al. *μέγας*) *S*; om. cet.: cf. Boeckh l. s. p. 88 ‖ **8** *πνεῖ* add. *BS* ‖ **9** *μὴν Φεβρουάριος, Μεχίρ LP* ‖ **10** *ὥρᾳ ιε̄ 𐅵″* addidi coll. 18. et 25. Tybi | *ὁ — Εὐδόξῳ ὑετία* (11)] om. *BS* | *ὁ* om. *V* ‖ **11** *Μητροδώρῳ — χειμαίνει* (12)] add. *BS* ‖ **13** *μέγας*] *μέσος BS*, cf. Boeckh l. s. p. 89 ‖ **14** *Αἰγυπτίοις* add. *BS* | *ἐπισημαίνει*] *χειμούμενος P*, *χειμὼν μέγας V* et H. ‖ **17** *ὥρᾳ ιε̄ — δύνει*] solus *B* huic diei tribuit recte (cf. Ideler p. 212); ceteri ad diem sequentem referunt ‖ **19** *Ἱππάρχῳ — ἀργεστής*] diei antecedenti tribuit *B*

δύνει. ὥρᾳ $\overline{ιδ}$ ὁ καλούμενος κάνωβος ἑσπέριος ἀνατέλλει. ὥρᾳ $\overline{ιε}$ ϛ'' ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑσπέριος ἀνατέλλει, καὶ ὁ κατὰ τὸ γόνυ τοῦ τοξότου ἐπιτέλλει. *Εὐδόξῳ* ὑετός (= d. 31. m. Ianuarii).

5 $\bar{ξ}$. [ὥρᾳ $\overline{ιγ}$ ϛ'' ὁ καλούμενος κάνωβος ἑσπέριος ἀνατέλλει.] ὥρᾳ $\overline{ιδ}$ ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος ἑῷος δύνει. ὥρᾳ $\overline{ιε}$ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑσπέριος ἀνατέλλει (= d. 1. m. Februarii).

$\bar{η}$. ὥρᾳ $\overline{ιδ}$ ϛ'' ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑσπέ-
10 ριος ἀνατέλλει. *Αἰγυπτίοις* νότος ἢ ζέφυρος μεταξὺ χαλάζης (= d. 2. m. Februarii).

$\bar{ϑ}$. ὥρᾳ $\overline{ιδ}$ ϛ'' ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος ἑῷος E δύνει. ὥρᾳ $\overline{ιε}$ ὁ κατὰ τὸ γόνυ τοῦ τοξότου ἐπιτέλλει. *Εὐδόξῳ* εὐδία, ἐνίοτε δὲ καὶ ζέφυρος πνεῖ (= d.
15 3. m. Februarii).

$\bar{ι}$. ὥρᾳ $\overline{ιε}$ ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος ἑῷος

1 ὥρᾳ $\overline{ιδ}$ — ὑετός (4)] om. *LP* | ὥρᾳ $\overline{ιδ}$] ὥρᾳ $\overline{ιγ}$ ϛ'' *V* || **2** ὥρᾳ $\overline{ιε}$ ϛ'' — ἀνατέλλει (3)] om. *B* | ante et post hanc notam in *V* spatium vacuum | ante ὁ ἐπὶ *S* add. καὶ || **3** ante καὶ add. ὥρᾳ $\overline{ιε}$ ϛ'' *V* || **4** Εὐδόξῳ ὑετός (ὑέτια *V*) add. *BSV* || **5** ὥρᾳ — ἀνατέλλει (6)] om. *BSV* et seclusi ut iterata ex die antecedente sed horae nota corrupta (cf. 22. Tybi et 23. Mechir) || **6** ὥρᾳ $\overline{ιδ}$ — δύνει (7)] om. *LP* | ὥρᾳ $\overline{ιδ}$ om. *V* || **7** ὥρᾳ $\overline{ιε}$ — ἀνατέλλει (8)] add. *BS* | $\overline{ιε}$ scripsi pro $\overline{ιγ}$ || **9** ὥρᾳ — ἀνατέλλει (10)] om. *V* | ὥρᾳ $\overline{ιε}$ ϛ'' *LP* | οὐρᾶς] καρδίας *BS* || **10** Αἰγυπτίοις — χαλάζης (11)] add. *BSV* | ζέφυρος ἢ νότος *V* | **10. 11** μεταξὺ χαλάζης] scripsi, *cum imbre B*, μεταξὺ χάλαζα *SV* || **12** ὥρᾳ $\overline{ιδ}$ ϛ'' — δύνει (13)] om. *LP* | ὥρᾳ $\overline{ιδ}$ ϛ'' scripsi pro ὥρᾳ $\overline{ιε}$ ϛ'' quod habent *BS* || **13** ὥρᾳ $\overline{ιε}$ — ἐπιτέλλει] om. *BSV* || **14** εὐδία] ὑετία *LP* | ἐνίοτε — πνεῖ] Αἰγυπτίοις ζέφυρος ἢ νότος, μεταξὺ χάλαζα *P* (vide diem antecedentem), om. *L* | δὲ et πνεῖ om. *V* || **16** ὥρᾳ — δύνει (240, 1)] om. *V* solus | ὥρᾳ $\overline{ιε}$ scripsi: ὥρᾳ $\overline{ιδ}$ ϛ' *BS*, ὥρᾳ $\overline{ιδ}$ *P*; ὥρᾳ $\overline{ιε}$ et ὁ om. *L* || **16 — p. 240, 1** ἑῷος δύνει] ἑσπέριος ἀνατέλλει *BS*

δύνει. [ὥρᾳ $\overline{ιδ}$ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑσπέριος ἀνατέλλει] (= d. 4. m. Februarii).

$\overline{ια}$. ὥρᾳ $\overline{ιδ}$ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑσπέριος
81 A ἀνατέλλει. ὥρᾳ $\overline{ιε}$ S'' ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος ἑῷος δύνει. *Αἰγυπτίοις* περίστασις χειμερινὴ ἢ 5 ἔπομβρος καὶ ἀνέμων ἀκρασία. *Δοσιθέῳ* εὐδία, ἐνίοτε καὶ ζέφυρος πνεῖ (= d. 5. m. Februarii).

$\overline{ιβ}$. ὥρᾳ $\overline{ιδ}$ ὁ λαμπρὸς τοῦ ὄρνιθος ἑσπέριος δύνει. ὥρᾳ $\overline{ιε}$ ὁ ἔσχατος τοῦ ποταμοῦ κρύπτεται. ⟨ὥρᾳ $\overline{ιε}$ S''⟩ ὁ λαμπρὸς τοῦ περσέως ἑῷος ἀνατέλλει· ὥρᾳ $\overline{ιε}$ S'' ὁ 10 λαμπρὸς τῆς λύρας ἑσπέριος δύνει. *Αἰγυπτίοις* ἀνεμώδης κατάστασις. *Καίσαρι* ὑετία. *Δημοκρίτῳ* ζέφυρος ἄρχεται πνεῖν (= d. 6. m. Februarii).

1 ὥρᾳ $\overline{ιδ}$ — ἀνατέλλει (2)] seclusi ut ex die 11. iterata (ubi vide); *LP* diei antecedenti tribuunt, ubi post ἑῷος δύνει (p. 239, 12. 13) *P* scribit | ὥρᾳ $\overline{ιε}$ *L*, ὥρᾳ $\overline{ιβ}$ *P* ‖ 2 post ἀνατέλλει *L* add. *Αἰγυπτίοις* ζέφυρος ἢ νότος· μεταξὺ χάλαζα, *P* add. *Εὐδόξῳ* εὐδία (ὑετία H.), ἐνίοτε καὶ ζέφυρος (vide diem antecedentem) ‖ 3 $\overline{ια}$] ῑ *L* | ὥρᾳ $\overline{ιδ}$ — ἀνατέλλει (4)] om. *BLV* et *S* (opinor) ‖ 4 ὥρᾳ $\overline{ιδ}$ *L*, ὥρᾳ $\overline{ιε}$ *PV* ‖ 5 post δύνει add. *L* $\overline{ια}$· ὥρᾳ $\overline{ιδ}$ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑσπέριος ἀνατέλλει. ὥρᾳ $\overline{ιε}$ ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος ἑῷος δύνει ‖ 5. 6 ἢ — ἀκρασία] καὶ ἀνέμων ἀκρασία ἔπομβρος *LPV* ‖ 6 ἐνίοτε add. *BS*, ἢ add. *L* ‖ 7 καὶ om. *BS* | πνεῖ add. *BS* ‖ 8 post δύνει omnia, quae in ceteris libris (de *V* certum iudicium fieri nequit, cum dierum numeri desint et notae diei 6. in tres partes dissectae sint) ad diem 13. referuntur, diei 12. *B* tribuit; contra omnia, quae illi diei 14. adsignant, ipse diei 13. adscribit, quam rationem semper diei antecedenti tribuendo ea quae in ceteris ad diem sequentem pertinent continuat *B* usque ad diem 16., cui nihil adscribit. hanc dispositionem veram esse videris, si Hipparchi fastos contuleris. itaque eius dispositionem restitui supra ‖ 9 ab ὥρᾳ $\overline{ιε}$ novum diem $\overline{ιγ}$ *L* et ceteri inchoant (etiam *V* sine numero) | ὥρᾳ $\overline{ιε}$] ὥρᾳ $\overline{ιε}$ S'' *BS* | ὥρᾳ $\overline{ιε}$ S'' addidi coll. 3. Phamenoth ‖ 10 ὁ λαμπρὸς — ἀνατέλλει] om. *BS* | ὥρᾳ $\overline{ιε}$ S''] om. *LPV* | ante ὁ *S* add. καὶ ‖ 12 κατάστασις] στάσις *LPV*

ιγ. ὥρᾳ ιγ ≤″ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις καὶ Εὐδόξῳ ἔαρος ἀρχή· B ζέφυρος ἄρχεται πνεῖν καὶ ἐνίοτε χειμών (= d. 7. m. Februarii).

5 ιδ. Αἰγυπτίοις καὶ Εὐδόξῳ ὑετία. Ἱππάρχῳ, Καλλίππῳ, Δημοκρίτῳ ζέφυρος πνεῖ (= d. 8. m. Februarii).

ιε. Καίσαρι καὶ Μητροδώρῳ ἔαρος ἀρχή· ζέφυρος ἄρχεται πνεῖν (= d. 9. m. Februarii).

10 ιϛ. deest (= d. 10. m. Februarii).

ιζ. Αἰγυπτίοις ⟨καὶ⟩ Εὐδόξῳ ζέφυρος πνεῖ. Ἱππάρχῳ ἔαρος ἀρχή. Καλλίππῳ ⟨καὶ⟩ Μητροδώρῳ χειμαίνει (= d. 11. m. Februarii).

ιη. Αἰγυπτίοις ἀπηλιώτης, Ἱππάρχῳ βορέας ἢ 15 ἀπηλιώτης πνεῖ (= d. 12. m. Februarii).

ιθ. ὥρᾳ ιδ ὁ ἐν τῷ ἐμπροσθίῳ δεξιῷ βατραχίῳ C τοῦ κενταύρου ἑῷος δύνει. ὥρᾳ ιε ≤″ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας ἑῷος ἀνατέλλει (= d. 13. m. Februarii).

20 κ. deest (= d. 14. m. Februarii).

κα. ὥρᾳ ιδ ⟨≤″⟩ ὁ λαμπρὸς τοῦ ὄρνιθος ἑσπέριος δύνει. Αἰγυπτίοις ἄνεμοι μεταπίπτοντες. Ἱππάρχῳ

1 ιγ] ιδ *L* et cet. | ὥρᾳ ιγ *LPV* ‖ **3** ζέφυρος — καὶ] add. *BS* | χειμών] χειμάζει *LPV* ‖ **5** ιδ] ιε *L* et cet. ‖ **6** Δημοκρίτῳ *LPV*, Μητροδώρῳ cet. | πνεῖ *LPV*, ἄρχεται πνεῖν cet.] ‖ **8** ιε] ιϛ *L* et cet. ‖ **11** καὶ om. cod. | πνεῖ — ἀρχή (12)] add. *BS* ‖ **12** καὶ om. cod. ‖ **13** χειμαίνει] *tempestas B* ‖ **14. 15** ἢ ἀπηλιώτης πνεῖ] add. *BS* ‖ **16** ὥρᾳ ιδ ≤″ H., om. *L* ‖ **17** ὥρᾳ ιε — ἀνατέλλει (18)] solus *B* huic diei tribuit, ceteri (etiam *LV*) diei sequenti, cui nihil adscribit *B*; sed recte *B* (cf. Ideler p. 212) | ὥρᾳ ιε ≤″ *LV* et H., ὥρᾳ ιγ ≤″ *BS* ‖ **21** ὥρᾳ ιδ] om. *B* | ≤″ addidi coll. 12. et 29. Mechir ‖ **22** μεταπίπτοντες] *ponunt B*

νότος πνεῖ. Εὐκτήμονι, Φιλίππῳ, Δοσιθέῳ χειμαίνει (= d. 15. m. Februarii).

κβ̄. Αἰγυπτίοις ἀνέμων ἀκαταστασία καὶ ὄμβρος (= d. 16. m. Februarii).

D *κγ̄. ὥρᾳ ιδ̄ ∠″ ὁ καλούμενος κάνωβος ἑσπέριος ἀνατέλλει* (= d. 17. m. Februarii). 5

κδ̄. Αἰγυπτίοις ἢ ζέφυρος ἢ νότος καὶ χάλαζα, ὑετός (= d. 18. m. Februarii).

κε̄. ὥρᾳ ιδ̄ ∠″ ὁ ἔσχατος τοῦ ποταμοῦ κρύπτεται. ὥρᾳ ιε̄ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας ἑῷος ἀνατέλλει. Ἱππάρχῳ βορέας ψυχρὸς πνεῖ (= d. 19. m. Februarii). 10

κϛ̄. Αἰγυπτίοις ἀνεμώδης κατάστασις (= d. 20. m. Februarii).

κζ̄. deest (= d. 21. m. Februarii). 15

E *κη̄. Ἱππάρχῳ* ⟨*καὶ*⟩ *Εὐκτήμονι ὀρνιθίαι ἄρχονται πνεῖν ψυχροί. χελιδόνι ὥρα φαίνεσθαι* (= d. 22. m. Februarii).

κθ̄. ὥρᾳ ιγ̄ ∠″ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας κρύπτεται. ὥρᾳ ιε̄ ὁ λαμπρὸς τοῦ ὄρνιθος ἑσπέριος δύνει. Αἰγυπτίοις καὶ Φιλίππῳ καὶ Καλλίππῳ χελιδὼν φαίνεται, καὶ ἀνεμώδης κατάστασις. Κόνωνι βορέαι ἄρχονται πνεῖν ψυχροί. Εὐδόξῳ ὑετὸς ἐπὶ 20

1. 2 *χειμαίνει*] *tempestas B* ‖ **3** *ἀκατάστασις* H. | *καὶ ὄμβροι S, cum largo imbre B* ‖ **5** *ὥρᾳ ιγ̄ ∠″* H. ‖ **7** *καὶ χάλαζα*] *χειμάζει LPV* ‖ **9** *τοῦ* add. solus *L* ‖ **10** *ὥρᾳ ιε̄*] add. *BS* ‖ **13** *ἀκαταστασία LPV* ‖ **15** in *V* hic amplissimum spatium vacuum ‖ **16** *κη̄*] *κζ̄ L* | *καὶ* om. cod. ‖ **17** *χελιδόνι—φαίνεσθαι*] *hirundo advenit B* | *φαίνεται P* ‖ **19** *κθ̄*] *κη̄ L, hor. 13 B* | ante *ἵππου* del. *τοῦ* Hercher ‖ **20** ante *ὥρᾳ ιε̄* add. *καὶ Καλλίππῳ P* ‖ **22** *χελιδόνες φαίνεθαι S, hirundines apparent B* | *Κόνωνι* add. *BS* ‖ **23** *ἐπὶ* om. *LPV*

χελιδόνι, καὶ ἐπὶ λ′ ἡμέρας βορέαι πνέουσιν οἱ κα- 82 A
λούμενοι ὀρνιθίαι (= d. 23. m. Februarii).

$\overline{λ}$. Αἰγυπτίοις ὀρνιθίαι βορέαι μεταξὺ ἀργεστοῦ. Ἱππάρχῳ βορέαι ψυχροί. Μητροδώρῳ χελιδὼν φαί-
5 νεται, ἐπισημαίνει. Δημοκρίτῳ ποικίλαι ἡμέραι αἱ καλούμεναι ἀλκυονίδες (= d. 24. m. Februarii).

ΦΑΜΕΝΩΘ

$\overline{α}$. ὥρᾳ $\overline{ιδ}$ ς″ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας ⟨ἑῷος⟩ ἀνατέλλει. ὥρᾳ $\overline{ιε}$ ⟨ς″⟩ ἀρκτοῦρος ἑσπέριος ἀνατέλλει. B
10 Καίσαρι καὶ Δοσιθέῳ χειμών· ἐπισημαίνει (= d. 25. m. Februarii).

$\overline{β}$. ὥρᾳ $\overline{ιδ}$ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας κρύπτεται (= d. 26. m. Februarii).

$\overline{γ}$. ὥρᾳ $\overline{ιε}$ ὁ λαμπρὸς τοῦ περσέως ἑῷος ἀνατέλλει
15 (= d. 27. m. Februarii).

$\overline{δ}$. ὥρᾳ $\overline{ιδ}$ ς″ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας ἑσπέριος δύνει (= d. 28. m. Februarii).

$\overline{ε}$. ὥρᾳ $\overline{ιδ}$ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας ἐπιτέλ-

1 χελιδόνιοι coni. Petavius et scripsit H. | ἐπὶ λ′ ἡμέρας add. *BS* | ἐπὶ λ′ corr. Unger (per litteras) coll. Gem. 4. piscium (ubi vide) pro ἐπὶ δ′ | αἱ καλούμεναι *V* | οἱ om. *S* ‖ **3** $\overline{λ}$] $\overline{κθ}$ *L* | ἀργέστης *L*, ἐργαστής *V* ‖ **4** βορέαι ψυχροί] βορέας ψυχρός *LV* et H., *aquilones cum argeste B*, βορέας μεταξὺ ἀργέστου *S* (ut videtur) ‖ **5** καὶ ἐπισημαίνει *LV* | αἱ add. *LV* ‖ **6** ἀλκυόνια *P* ‖ **7** μὴν Μάρτιος, Φαμενὼθ *LP* ‖ **8** ὥρᾳ $\overline{ιδ}$ *PS* | ἑῷος add. I. ‖ **9** ὥρᾳ $\overline{ιε}$—ἀνατέλλει] om. *B* | ς″ addidi coll. 5. Phamenoth ‖ **10** καὶ om. *V* | χειμών· ἐπισημαίνει] sic *S*, ceteri χειμάζει ‖ **12** ὥρᾳ $\overline{ιδ}$ scripsi coll. 29. Mechir et 4. Phamenoth pro ὥρᾳ $\overline{ιε}$ ς″, om. *LP* ‖ **14** ἑῷος add. *BS* ‖ **16** ὥρᾳ $\overline{ιδ}$ *PV*, om. *L* ‖ **16. 17** ἑσπέριος om. *B* ‖ 18 ὥρᾳ $\overline{ιδ}$ scripsi coll. 1. et 11. Phamenoth; ὥρᾳ $\overline{ιβ}$ *LPV*, ὥρᾳ $\overline{ιδ}$ ς″ cet.

λει. ὥρᾳ ιε̄ ἀρκτοῦρος ἑσπέριος ἀνατέλλει. Ἱππάρχῳ βορέας ἢ νότος ψυχρός (= d. 1. m. Martii).

C ϛ̄. ὥρᾳ ιδ̄ ὁ ἔσχατος τοῦ ποταμοῦ κρύπτεται. Αἰγυπτίοις λὶψ ἢ νότος ἢ χάλαζα. Ἱππάρχῳ βορέας ψυχρός (= d. 2. m. Martii). 5

ζ̄. ὥρᾳ ιε̄ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας ἑσπέριος δύνει. ὥρᾳ ιε̄ ⟨ς″⟩ ὁ λαμπρὸς τοῦ ὄρνιθος ἑσπέριος δύνει (= d. 3. m. Martii).

η̄. ὥρᾳ ιδ̄ ς″ ἀρκτοῦρος ἑσπέριος ἀνατέλλει. Εὐκτήμονι βορέας ψυχρὸς πνεῖ (= d. 4. m. Martii). 10

θ̄. ὥρᾳ ιε̄ ς″ ὁ λαμπρὸς τοῦ βορείου στεφάνου D ἑσπέριος ἀνατέλλει· ὥρᾳ ιε̄ ς″ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας ἑσπέριος δύνει. Αἰγυπτίοις χειμάζει. Καίσαρι χελιδονίαι πνέουσιν ἐπὶ ἡμέρας δέκα (= d. 5. m. Martii). 15

ῑ. [ὥρᾳ ιγ̄ ς″ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας ἑσπέριος δύνει. Αἰγυπτίοις χειμάζει· Καίσαρι χελιδονίαι] (= d. 6. m. Martii).

ια̅. ὥρᾳ ιγ̄ ς″ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας ἐπιτέλλει· ὥρᾳ ιγ̄ ς″ ὁ λαμπρὸς τοῦ νοτίου ἰχθύος ἐπιτέλλει, καὶ ὁ ἐν τῷ ἐμπροσθίῳ δεξιῷ βατραχίῳ τοῦ κενταύρου ἑῷος δύνει. Αἰγυπτίοις ταραχώδεις κα- 20

1 ante ὥρᾳ spatium vacuum in *V* | ὥρᾳ ιδ̄ H. | Ἱππάρχῳ add. *BS* ‖ 2 βορέας ψυχρὸς ἢ νότος H. ‖ 3 ὥρᾳ ιδ̄] om. *LPV* ‖ 4 ἢ χάλαζα] *cum grandine B* ‖ 6 ὥρᾳ ιε̄ om. *V* ‖ 7 ὥρᾳ ιε̄ add. *B* | ς″ addidi coll. 21. et 29. Mechir ‖ 9 ὥρᾳ ιδ̄ *LPV* ‖ 11 ὥρᾳ ιε̄ *LPV* ‖ 12 ὥρᾳ ιε̄ ς″] add. *B*, καὶ *V* ‖ 13 χειμαίνει *V* ‖ 14 πνείουσιν *LV* ‖ 16—18 om. *V* recte; omnia enim male ex antec. die iterata sunt (hora corrupta) ‖ 16. 17 ἑσπέριος δύνει] ἐπιτέλλει *P* ‖ 17. 18 Αἰγυπτίοις — χελιδονίαι] add. *BS* | χελιδονίαι scripsi, χελιδονίαν *S*, *chelidonii flatus B* ‖ 19 ὥρᾳ ιγ̄ ς″ ὁ κοινὸς ἵππου καὶ ἀνδρομέδας ἐπιτέλλει] add. *BS* et *V* qui post haec verba spatium vacuum habet ‖ 20 ὁ λαμπρὸς — ἐπιτέλλει καὶ (21)] om. *B* ‖ 22 — p. 245, 1 ταραχώδης κατάστασις *V*

τασϑάσεις. Δημοκρίτῳ ἄνεμοι ψυχροί· ὀρνιθίαι ἐπὶ ἡμέρας ϑ′ (= d. 7. m. Martii).

ιβ. ὥρᾳ ιδ ὁ ἀρκτοῦρος ἑσπέριος ἀνατέλλει. Εὐδόξῳ χειμὼν καὶ ἰκτῖνος φαίνεται καὶ ἐπισημαίνει. E
5 Μητροδώρῳ καὶ Εὐκτήμονι καὶ Φιλίππῳ βορέας ψυχρὸς πνεῖ. Ἱππάρχῳ ἔαρος ἀρχή (= d. 8. m. Martii).

ιγ. ὥρᾳ ιγ ς″ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑῷος δύνει. Αἰγυπτίοις ψακάζει. Μητροδώρῳ ⟨καὶ⟩ Εὐκτήμονι βορέας πνεῖ. Δοσιϑέῳ ἰκτῖνος ἄρχεται
10 φαίνεσϑαι. Ἱππάρχῳ νότος πολύς (= d. 9. m. Martii).

ιδ. ὥρᾳ ιε ὁ λαμπρὸς τοῦ βορείου στεφάνου ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις ⟨καὶ⟩ Καλλίππῳ βορέας ψυχρὸς πνεῖ (= d. 10. m. Martii). 83 A

ιε. ὥρᾳ ιγ ς″ ἀρκτοῦρος ἑσπέριος ἀνατέλλει. Αἰ-
15 γυπτίοις ⟨καὶ⟩ Καλλίππῳ βορέας ψυχρὸς πνεῖ (= d. 11. m. Martii).

ις. ὥρᾳ ιγ ς″ ὁ ἔσχατος τοῦ ποταμοῦ κρύπτεται. Καλλίππῳ βορέας σύμμετρος πνεῖ (= d. 12. m. Martii).

ιζ. ὥρᾳ ιγ ς″ ὁ στάχυς ἑσπέριος ἀνατέλλει. ὥρᾳ
20 ιδ ς″ ὁ στάχυς ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις

2 ϑ′] πέντε *LPV* ‖ 3 ὥρας ιδ ς″ *LV* ‖ 4 χειμὼν corr. Unger (per litteras) pro χελιδὼν coll. Gemin. d. 17. pisc., cum hirundo Eudoxo iam 29. Mechir appareat | ἴκτινος *V* et sic semper infra, ἴκτινος *L* et sic semper infra, ἴκτινοι *S* | φαίνεται *LP*, φαίνονται cet. | ἐπισημαίνει] *pluit B* ‖ 5 καὶ Εὐκτήμονι] add. *BS* ‖ 7 ὥρᾳ ιγ ς″ corr. I. pro ὥρᾳ ιγ, om. *B* ‖ 7. 8 ἑῷος δύνει] om. *LPV* ‖ 8 καὶ om. cod. ‖ 11 ὥρᾳ ιε] sic *B*, ceteri ὥρᾳ ιε ς″ | βορείου] νοτίου *S* ‖ 12 καὶ om. cod. ‖ 13 ψυχρὸς add. *BS* ‖ 14 ὥρᾳ ιγ ς″] om. *PV* | ἑσπέριος] ἑῷος *BS* | ἀνατέλλει] sic *B* (*exoritur*), ἐπιτέλλει ceteri ‖ 14. 15 Αἰγυπτίοις — πνεῖ] om. *BS* ‖ 15 καὶ om. cod. ‖ 17 ante ὁ ἔσχατος *LPV* perperam add. ἀρκτοῦρος ἑσπέριος ἐπιτέλλει, καὶ ‖ 18 σύμμετρος add. *BS* ‖ 19. 20 ὥρᾳ ιδ ς″ — ἀνατέλλει] add. *BL* | ὥρᾳ ιδ ς″] sic (vel ὥρᾳ ιε ς″) I. p. 211 coni. pro *hor. 13. 30* et sic habet *L*

ἀνεμώδης κατάστασις. Εὐκτήμονι καὶ Φιλίππῳ B ὀρνιθίαι ἄρχονται πνεῖν, καὶ ἰκτίνῳ ὥρα φαίνεσθαι (= d. 13. m. Martii).

ιη. ὥρα ιδ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑῷος δύνει. Αἰγυπτίοις ζέφυρος ἢ νότος πνεῖ· Εὐκτήμονι βο- 5 ρέας ψυχρὸς πνεῖ· Δοσιθέῳ ὀρνιθίαι ἄρχονται πνεῖν· Ἱππάρχῳ βορέας ἢ ἀργεστής (= d. 14. m. Martii).

ιθ. Αἰγυπτίοις καὶ Εὐκτήμονι βορέας ψυχρός (= d. 15. m. Martii).

κ. ὥρα ιδ ὁ λαμπρὸς τοῦ νοτίου ἰχθύος ἐπιτέλλει. 10 ὥρα ιδ S″ ὁ λαμπρὸς τοῦ βορείου στεφάνου ἑσπέριος ἀνατέλλει (= d. 16. m. Martii).

κα. ὥρα ιδ S″ ὁ λαμπρὸς τοῦ περσέως ⟨ἑῷος⟩ ἀνα- C τέλλει. Καλλίππῳ βορέας πνεῖ καὶ ἰκτῖνος φαίνεται (= d. 17. m. Martii). 15

κβ. Αἰγυπτίοις καὶ Δημοκρίτῳ ἐπισημαίνει, ἄνεμος ψυχρός (= d. 18. m. Martii).

κγ. Αἰγυπτίοις πνεῦμα ψυχρὸν ἐπὶ ἡμέρας δέκα. Ἱππάρχῳ βορρᾶς πνεῖ (= d. 19. m. Martii).

κδ. Καίσαρι ἰκτῖνος φαίνεται, βορέας πνεῖ (= d. 20 20. m. Martii).

κε. ὥρα ιδ S″ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑῷος

1 ἀνεμώδης κατάστασις] *venti dominantur B* ‖ 2 ἰκτίνῳ] sic vel ἰκτῖνον coni. Boeckh l. s. p. 411 pro ἰκτίνων | ὥρας *L* ‖ 4 ὥρα ιδ] sic *B* H., ceteri ὥρα ιδ S″ ‖ 5 ἢ νότος] om. *BS* ‖ 6 ψυχρὸς om. *BS* | πνεῖ — πνεῖν] add. *BS* ‖ 8 huius diei notam priori adiungit *V* ‖ 10 ὥρα ιδ S″ *LSV* | νοτίου] βορείου *LPV* ‖ 11 ὥρα ιδ S″ — ἀνατέλλει (12)] diei sequenti tribuunt *BS* | ὥρα ιδ S″] om. *B* ‖ 13 ὥρα ιδ *P* | ἑῷος add. I. ‖ 14 Καλλίππῳ] Φιλίππῳ *LPV* ‖ 16 Δημοκλεῖ *S* | ἐπισημαίνει] χειμών *BS* ‖ 18 ἐπὶ ἡμέρας δέκα] *vernum aequinoctium B* ‖ 19 Ἱππάρχῳ βορρᾶς πνεῖ] add. *BS* ‖ 22 ὥρα ιδ *P*

δύνει. Εὐδόξῳ ἰκτῖνος φαίνεται καὶ βορέας πνεῖ (= d. 21. m. Martii).

κ̄ς̄. ἐαρινὴ ἰσημερία. ὥρᾳ ῑδ̄ ὁ λαμπρὸς τοῦ βορείου στεφάνου ἑσπέριος ἀνατέλλει (= d. 22. m. Martii). D

5 κ̄ζ̄. Καίσαρι βορέας πνεῖ. Ἱππάρχῳ ὑετία (= d. 23. m. Martii).

κ̄η̄. Αἰγυπτίοις βροντή, ἐπισημασία· Φιλίππῳ καὶ Καλλίππῳ καὶ Εὐκτήμονι ὑετὸς ἢ ψακάς· Ἱππάρχῳ ἐπισημασία (= d. 24. m. Martii).

10 κ̄θ̄. ὥρᾳ ῑε̄ ς″ ὁ καλούμενος αἲξ ἑῷος ἀνατέλλει. Αἰγυπτίοις καὶ Κόνωνι καὶ Μέτωνι ἐπισημαίνει. Εὐδόξῳ βορέας (= d. 25. m. Martii).

λ̄. ὥρᾳ ῑγ̄ ς″ στάχυς ἑῷος δύνει. Αἰγυπτίοις ἀργέστης ἄνεμος πνεῖ. Καλλίππῳ ὑετὸς ἢ νιφετός

15 (= d. 26. m. Martii).

ΦΑΡΜΟΥΘΙ

E

ᾱ. ὥρᾳ ῑδ̄ στάχυς ἑῷος δύνει. Μέτωνι καὶ Καλλίππῳ καὶ Εὐδόξῳ ὑετός. Εὐκτήμονι ⟨καὶ⟩ Δημοκρίτῳ ἐπισημαίνει (= d. 27. m. Martii).

20 β̄. ὥρᾳ ῑγ̄ ς″ ὁ λαμπρὸς τοῦ βορείου στεφάνου ἑσπέριος ἀνατέλλει. ὥρᾳ ῑδ̄ ς″ στάχυς ἑῷος δύνει,

3 ὥρᾳ ῑδ̄] καὶ *LPV* | βορείου] νοτίου *S* ‖ 7 βρονταὶ *V* | ἐπισημασία — Εὐκτήμονι (8)] ἐπισημαίνει καὶ *LP*, ἐπισημαίνει *V* ‖ 8 ἢ — ἐπισημασία (9)] add. *BS* ‖ 10 ὥρᾳ ῑε̄ ς″] om. *B* ‖ 11 ἐπισημαίνει] ἰσημερία *S*, *aequinoctium B*: cf. Boeckh, *Sonnenkreise* p. 48 ‖ 14 ἀργεστὴς ἄνεμος] νότος *LPV* | Καλλίππῳ] Ἱππάρχῳ H. | ἢ add. *L* | νιφετός] *nimbus B* ‖ 16 μὴν Ἀπρίλιος ἢ Φαρμουθί *P*, μὴν ἀπρίλλιος φαρμουθί *L* ‖ 17 ὥρᾳ ῑδ̄] om. *B* ‖ 17. 18 καὶ Καλλίππῳ καὶ Εὐδόξῳ] add. *BS* ‖ 18 καὶ secundum om. cod. ‖ 18. 19 Δημοκρίτῳ] Διοκλεῖ *S* ‖ 20 ὥρᾳ ῑγ̄ *LPV* ‖ 21 ὥρᾳ ῑδ̄ *LPV* | δύνει ἑῷος *LV*

καὶ ὁ καλούμενος κάνωβος κρύπτεται. ὥρᾳ $\overline{ιε}$ ὁ ἐπὶ
84 A τῆς οὐρᾶς τοῦ λέοντος ἑῷος δύνει. Δοσιθέῳ, Μέτωνι, Καλλίππῳ ὑετία (= d. 28. m. Martii).

$\bar{γ}$. ὥρᾳ $\overline{ιδ}$ ὁ λαμπρὸς τοῦ περσέως ἑῷος ἀνατέλλει. ὥρᾳ $\overline{ιδ}$ ∠″ ὁ λαμπρὸς τοῦ νοτίου ἰχθύος ἐπιτέλλει (= d. 29. m. Martii). 5

$\bar{δ}$. ὥρᾳ $\overline{ιε}$ ∠″ ὁ λαμπρὸς τῆς βορείου χηλῆς ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις καὶ Κόνωνι ἐπισημαίνει. Εὐδόξῳ ὑετία γίνεται (= d. 30. m. Martii).

$\bar{ε}$. ὥρᾳ $\overline{ιε}$ στάχυς ἑῷος δύνει (= d. 31. m. Martii). 10

$\bar{ς}$. ὥρᾳ $\overline{ιε}$ ∠″ ὁ λαμπρὸς τῆς νοτίου χηλῆς ἑσπέριος ἀνατέλλει. Εὐδόξῳ ὑετός· ἐπισημαίνει (= d. 1. m. Aprilis).

$\bar{ζ}$. ὥρᾳ $\overline{ιγ}$ ∠″ ὁ λαμπρὸς τῆς νοτίου χηλῆς ἑσπέριος ἀνατέλλει. ὥρᾳ $\overline{ιε}$ ⟨∠″⟩ στάχυς ἑῷος δύνει (= d. 15 2. m. Aprilis).

B $\bar{η}$. ὥρᾳ $\overline{ιε}$ ὁ λαμπρὸς τῆς βορείου χηλῆς ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις ζέφυρος καὶ χάλαζα. Κόνωνι ἐπισημαίνει. Εὐδόξῳ ὑετός (= d. 3. m. Aprilis).

$\bar{θ}$. ὥρᾳ $\overline{ιδ}$ ∠″ ὁ λαμπρὸς τῆς βορείου χηλῆς ἑσπέ- 20

1 καὶ] *hor. 14. 30 B* ‖ **2. 3** Μέτωνι om. *LPV* ‖ **3** Καλλίππῳ om. *BS* ‖ **4** ὥρᾳ $\overline{ιδ}$ — ἀνατέλλει] om. *BS* | ὥρᾳ $\overline{ιδ}$ scripsi coll. 21. Phaophi et 14. Pharmuthi pro ὥρᾳ ιδ ∠″ ‖ **5** ὥρᾳ $\overline{ιδ}$ ∠″ — ἐπιτέλλει] huic diei tribuunt *BLS*, vulg. subsequenti adscrib. ‖ **7** ὥρᾳ $\overline{ιε}$ ∠″ — ὑετία γίνεται (9)] add. *BS* | ad diem 5. adscripta etiam ad diem 4. iterat *L* et haec bis praebet *V* ‖ **8. 9** ἐπισημαίνει] *pluit B* ‖ **9** ὑετία γίνεται] *imbres triduani B* ‖ **10** post ὥρᾳ $\overline{ιε}$ delevi ∠″ coll. 7. Pharmuthi ‖ **11** ὥρᾳ $\overline{ιε}$ ∠″ *LPV*, ὥρᾳ $\overline{ιγ}$ ∠″ cet. ‖ **12** Εὐδόξῳ — ἐπισημαίνει] om. *BS* ‖ **14** ὥρᾳ $\overline{ιγ}$ ∠″ — ἀνατέλλει (15)] om. *B* | τῆς addidi cum *LV* ‖ **15** ὥρᾳ $\overline{ιε}$ — δύνει] om. *LPV* | ∠″ addidi coll. 5. Pharmuthi ‖ **17** ὥρᾳ $\overline{ιε}$] om. *LPV* | $\overline{ιε}$ scripsi pro $\overline{ιδ}$ ∠″ ‖ **18** ζέφυρος καὶ χάλαζα] add. *S*, *favonius grandinem affert* add. *B* ‖ **18. 19** Κόνωνι — ὑετός] om. *BS* ‖ **20** ὥρᾳ $\overline{ιδ}$ *B*

ριος ἀνατέλλει. *Αἰγυπτίοις* ⟨καὶ⟩ *Κόνωνι* ζέφυρος ἢ νότος καὶ χάλαζα (= d. 4. m. Aprilis).

ῑ. ὥρᾳ ῑδ̄ ὁ λαμπρὸς τῆς βορείου χηλῆς ἑσπέριος ἀνατέλλει. ὥρᾳ ῑε̄ ς″ ὁ λαμπρὸς τῆς λύρας ἑσπέ-
5 ριος ἀνατέλλει. *Ἱππάρχῳ* νότος καὶ ἀνέμων συστροφαί (= d. 5. m. Aprilis).

ῑᾱ. ὥρᾳ ῑγ̄ ς″ ὁ λαμπρὸς τῆς βορείου χηλῆς ἑσπέ- C
ριος ἀνατέλλει. *Ἱππάρχῳ* καὶ *Δοσιθέῳ* ἐπισημαίνει (= d. 6. m. Aprilis).

10 ῑβ̄. ὥρᾳ ῑε̄ ς″ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἑῷος δύνει (= d. 7. m. Aprilis).

ῑγ̄. ὥρᾳ ῑγ̄ * * *Αἰγυπτίοις* νότος ἢ λίψ. *Εὐδόξῳ* ὑετία (= d. 8. m. Aprilis).

ῑδ̄. ὥρᾳ ῑγ̄ ς″ ὁ λαμπρὸς τοῦ περσέως ἑῷος ἀνα-
15 τέλλει. *Αἰγυπτίοις* ἀκρασία πνευμάτων. *Ἱππάρχῳ* ὑετία (= d. 9. m. Aprilis).

ῑε̄. *Αἰγυπτίοις* ἀέρος ἀκαταστασία καὶ ὑετός· *Εὐκτήμονι* καὶ *Φιλίππῳ* ἀκρασία πνευμάτων· *Ἱππάρχῳ* ὑετία (= d. 10. m. Aprilis).

20 ῑς̄. *Εὐδόξῳ* ζέφυρος καὶ ἀκρασία ἀέρος, μεταξὺ ψεκάζει (= d. 11. m. Aprilis).

